ᾠήθην γράψαι' λέγεται, καθὰ καὶ 'δέον ᾠήθην γράψαι'. 'δεῖν δὲ ὂν γενέσθαι
τόδε' (ἐγένετο τόδε) οὐ λέγεται, ὥσπερ τὸ 'δέον γενέσθαι τόδε' (ἐγένετο τόδε). 20
καὶ τὸ πλεῖν ἐξ ἀνάγκης οὐκ ἀπὸ τοῦ πλέον γίνεται, ἐπεὶ καὶ αὐτὸ οὐκ ἐπὶ
πάντων λέγεται ἐφ' ὧν τὸ 'πλέον' πλέον μὲν γὰρ δύναται τόδε τοῦδε' λέγεται·
'πλεῖν δὲ δύναται' οὐ λέγεται. **c**. *ὀφειλήματα* : ἁμαρτήματα. 24s. ἔδωκε
δίκην ὁ τιμωρηθείς· ἔλαβε δίκην ὁ τιμωρήσας. δίδωσι δίκην ὁ κολαζόμε-
νος· λαμβάνει δίκην ὁ κολάζων. 25. **a**. *οὖν* : λοιπόν. **b**. *ὑπεριδών* : κατα- 25
φρονήσας.

29.652.26. *τοῦ* : ἕνεκα. 27. **a**. *αἰτιῶ* : ἤγουν μέμφου. **b**. ἐπι*μεληθείς*.
27s. *καταφανής* : ἤγουν διάδηλος. 28. *ἄγεις* : ἔχεις. 28s. **a**. *καταπονουμέ-*
νοις : ἤγουν τοῖς ἀδικουμένοις. **b**. *ἐπ'* : εἰς. **c**. ἀνεῳγμένον ἐποίησας.
30. **a**. *ὅπως* : πῶς. **b**. *κοπτόμενον* : ἤγουν ὀχλούμενον. 31. *πολλῶν* : πρα- 30
γμάτων. 32. *οὗ* : ὁ ἄνθρωπος. 33s. μὴ λαμβανέτω τινὰ βοήθειαν ἀπὸ
σοῦ. 34. *τε* : γε. 35. *οὖν* : ἔστω δηλονότι. 36. **a**. *ἀφίκωμαι* : παραγένω-
μαι. **b**. *δῆθεν* : τάχα. **c**. *αἰτιασόμενος* : ἤγουν μεμψόμενος. 37. ἤγουν
ἐπικλεῖσαι, ἑνῶσαι· ἀπὸ μεταφορᾶς τῶν ἑνουμένων ἐν τῷ *ζυγῷ* : ἐναποκλεῖ-
σαι. 39. **a**. *ἴδωσιν* : θεάσονται. **b**. *τῶν* : ἀπό. **c**. *τοὐντεῦθεν* : ἤγουν τὸ 35
ἐξ ἐκείνου. 40. ἤγουν ἕξομεν. 41. **a**. *τοῦ λοιποῦ* : εἰς τὸ ἑξῆς. **b**. διηγή-
σεται μετὰ κλαυθμοῦ τὰς συμφορσά. προσανακλαίομαι τῷ δεῖνι τὰς συμφο-
ράς. 42. ἀντὶ τοῦ δειλιάσεις. 43. **a**. γνῶναι. συγγνωμονῆσαι. **a**[1]. συγ-

---

17 - 23 totum sch. perperam in fol. praec. transcr. C

γινώσκω σοι ἀδικίαν· ἀντὶ τοῦ 'ἐπίσταμαί σοι τὰς ἀδικίας'. γινώσκω γινώ-
σκεις γινώσκει· τὰ δυϊκὰ ἴστον ἴστον κατὰ συγκοπήν· τὰ πληθυντικὰ ἴσμεν
ἴστε ἴσασιν. **653.1**. *ποιεῖν* : ἤγουν εὐεργετεῖν. 4. *πορίζόμενος* : ἤγουν
εὑρίσκων.

315v **30.653**.5. *ὡς* : ἵνα. | 6. **a**. *ἀδικοίης* : ἀδικέαι. ἀδικῶ· καὶ ἡ μετοχὴ ὁ 5
ἀδικέων ὁ ἀδικῶν, τοῦ ἀδικέοντος τοῦ ἀδικοῦντος· καὶ τὸ εὐκτικὸν ἀδι-
κέοιμι ἀδικοῖμι, καὶ τροπῇ τῆς 'μι' εἰς 'ην' ἀδικοίην, τὸ δεύτερον ἀδικοίης.
τοιοῦτον τὸ εὐδρομοίης καὶ εὐδαιμονοίης καὶ πολλὰ ἕτερα. **b**. ἀδικίαν πά-
σχει. 8. *ἔοικα* : δοκῶ. 9. **a**. *πραττομένου* : ἤγουν ἀπαιτουμένου. **a**[1]. καὶ
ἀπαιτουμένου. γρ. εἰσπραττομένου καὶ πραττομένου· πράττομαι σημαίνει δύο· 10
τό τε λαμβάνω καὶ δίδωμι.

31.653.11. οὐ *ψυχὰς* λέγει τῶν πόλεων, ἀλλὰ ψυχὰς ἀνθρώπων, ἐφό-
ρους τῶν πόλεων· τοῦτο δέ φησι κατὰ τὴν Ἡσιόδου δόξαν· ἐκεῖνος γὰρ τοὺς
τοῦ χρυσοῦ γένους δαίμονας λέγει μετὰ τὴν τελευτὴν γεγονέναι καὶ φύλακας
ὑπὸ τοῦ Διὸς καταστῆναι τῶν ἀνθρώπων. ὅθεν οὗτος 'θεῖαι' εἰπὼν καὶ 'δαι- 15
μόνιοι' ἐπάγει, ὥσπερ ἐφερμηνεύων καὶ ἄντικρυς λέγων ὅτι 'θεῖαι εἶπον
⟨ἐπειδὴ δαιμόνιοι⟩'. τὸ γὰρ δαιμόνιον πάντως θεῖον. 12. *ἔφοροι* : ἐπιτηρη-
ταί, ἀπὸ θεοῦ καταγόμεναι. 13. **a**. ἤγουν μετὰ ἀποδόσεως καὶ ἀμοιβῆς
μεμνῆσθαι. **b**. *ὤν* : εὑρισκόμενος. 15. **a**. στάσιν ἐνταῦθα δηλοῖ ἡ 'παρά'.
b. ἐφ' ἑνὸς ἑκάστου. **c**. *οἷον* : πράγματος. 16. *συνηγόρους* : βοηθούς. 20
18. *μιμήσεως* : ἕνεκα. 20. **a**. *συνάπτει* : οἰκειοῖ καὶ ὅμοιον ἐργάζεται τὸ πρᾶ-
γμα ἐκεῖνο ὃ μιμεῖται. **a**[1]. ἤγουν συνημμένον ποιεῖ ἡ μίμησις. 21. *διά-*
κεισο : ἤγουν διάθεσιν ἔχε. 21s. *ἀπειργασμένος* : ἤγουν γεγενημένος. 22. **a**.
οἰκείως. **b**. διὰ τὴν ⟨κοινωνίαν⟩. 23. *σύνεσο* : ἤγουν συνύπαρχε. 24. *δια-*
θέσει : ἤγουν τῇ εὐεργετικῇ. 27. τὸν νέον ἡγεμόνα. 25

324v **32(45).653**.28. **a**. κατὰ ὄνομα. **b**. *τήν* : κατὰ. 28s. *οὐ νοήσας* ὅστις
ἐστίν. οὗ τὴν γνώμην μὴ γνούς. 30. *ἐώνημαι* : ἠγόρασα. 31. **a**. ἐγεννήθη...
ἀνετράφη. **b**. *ἀγωγῆς* : ἤγουν παιδεύσεως. **b**[1]. γρ. ἀναγωγῆς. **c**. *ἀπέτυ-*
χεν : ἐστερήθη. 32. **a**. ἐκ παιδικῆς ἡλικίας. **b**. τηλία τράπεζα ἐφ' ᾗ ἐκύ-
325 βευον, καὶ ἀνατρεπομένης τοὺς ὄρνιθας πυκτεύειν παρεσκευάζοντο. | 33. 30
a. *καλινδηθείς* : πεσών. **b**. *ἀλλά* : δέ. 34. **a**. ἐξειργάσθη. **b**. *ἀηδίας* :
ἀκαταστασίας. 35. **a**. τῷ Ἑρμῇ διὰ τὸ τεχνικὸν καὶ δόλιον [ἔταξαν]· τῷ δὲ
Ἡρακλεῖ ὡς στερρῷ καὶ ἀνδρείῳ ὄντι. **b**. *Ἑρμῇ* : τῷ **c**. *ἐφόροις* : ἐπι-
στάταις. 36. **a**. *πρέπει* : ἁρμόττει. **b**. *Κοττυτοῖ* : γρ. Κότυϊ. 37. **a**. κονί-
σαλοι δαίμονές τινες ἐπιστάται τῶν βδελλυρῶν καὶ κακῶν πραγμάτων. **a**[1]. 35
πάντες οἱ ἔφοροι δαίμονες τῶν αἰσχρῶν ἐν τῇ Ἀττικῇ ἐκαλοῦντο κονίσαλοι.
b. *νεωκορεῖ* : ὑπηρετεῖ. ὑπηρέτης ἐστίν. 38. **a**. *τοῦ κόμματος* : ἤγουν τοῦ

---

12 πολλῶν C : ex J corr. 13 τοὺς J : τὰς C 13 - 15 Hes., *Ἔργα* 121ss. 32 ἔτα-
ξαν om. J 35 ex J ins.

χαράγματος. **a**[1]. ταύτης τῆς μερίδος. 39. *πάντων* : τῶν πραγμάτων μέλει.
39s. ἤγουν οὐ κολάσαιμι αὐτόν. 40. **a**. *ἀποχρῶσα* : ἀρκετή. **b**. *δίκη* : τιμω-
ρία. 41. **a**. *δοκιμασθείς* : κριθείς. **a**[1]. δοκιμάζω τὸ κρίνω. **b**. *ἀνεπιτή-
δειος* : οὐχ ἁρμόττων. 42. **a**. *ὧν* : φιλοσόφων. **b**. *οἰκορούντων* : καθημένων
ἐν τῇ οἰκίᾳ. 43. *ἡμᾶς* : ὑ. 44. **a**. ἤγουν τὸν ἐν τοῖς *πορνείοις* διατρίβοντα. 5
b. *σοβαρῶς* περιπατοῦντα. ἀτάκτως βαδίζοντα. **654**.1. *ἔχοντας* : δεσπόζον-
τας. 2. **a**. *ὅπως* : σκόπει πῶς˙ ἀττικόν. **b**. *οὖν* : λοιπόν. 3. **a**. *τῆς ἐνεγκού-
σης* : τῆς πατρίδος. **b**. *ἐκείνη* : ἤγουν ἡ ἐνεγκοῦσα. 4. φύσιν ἔχει ἀνασχέ-
σθαι, ὑπομεῖναι. 5. **a**. ὁ πάτος τῆς νηὸς ὁ ἄνω καλεῖται κατάστρωμα. **b**.
εἰς κοίλην (ναῦν) : ἤγουν εἰς τὴν κοινῶς λεγομένην σῶταν. 6. *καταβαίη* : 10
εὔχομαι. 7. *ἡμίκενα* 7s. *παρατείνοιτο* : βραδύτερος γίνοιτο. 8. φύσιν ἔχει
ἐκροφῆσαι. 9. *ἀναγκάσειε* : γρ. ἀναπείσειε. 10. **a**. *ἄλλοις* : κακοῖς ἃ ἔχει.
b. *πιθανώτατον* : ἤγουν ἔχει μάλιστα πειθώ. 11. **a**. *ἡγήσασθαι* : ὁδηγὸν
γενέσθαι. **b**. *ἐμβριθής* : στερρός. **b**[1]. βεβηκὼς ἐπ' ὄνου. 12. **a**. ἕνεκα
μισθοῦ. **b**. *πλεόντων* : ἤγουν τῶν ναυτῶν. **b**[1]. τοὺς ναύτας φησί. 12s. 15
διαχυθῆναι : χαῦνος γενέσθαι εἰς ἡδονάς. 13. **a**. *κορδακίσαντος* : ὀρχησαμέ-
νου. **a**[1]. κόρδαξ κόρδακος˙ εἶδος ὀρχήσεως, ἐξ' οὗ καὶ κορδακίζειν τὸ μετὰ
μέθης ὀρχεῖσθαι. 14. **a**. *περιφορᾷ* : κύκλῳ. κινήσει. περιδινήσει. **b**. *βωμο-
λοχεύεται* : ἀκολάστως πράττει. 15. καταχειρωθῆναι. πεφραγμένον εἶναι,
ὡπλισμένον. ἤγουν πεφραγμένα ποιῆσαι τὰ ὦτα, ὥσπερ Ὀδυσσεὺς ἐποίησε 20
τοὺς ναύτας αὐτοῦ. 17. **a**. δεδεσμημένος. **b**. *παρήμειβεν* : διέβαινεν. παρήρ-
χετο. **c**. *οὑτοσί* : διέβαινεν. 18. **a**. *διαφθείροιεν* : -ρη. **b**. *ἐκεῖνοι* : ἤγουν
οἱ πλέοντες.

33(46).654.20. *ἀποδίδωμι* : ἀντιδίδωμι.

34(47).654.22. **a**. *μέλει* : φροντίς ἔστι. **b**. *μελήσει* : ἤγουν φροντὶς 25
γενήσεται. 23. **a**. μέχρι παντός. **b**. ἐν τῷ *οἴκῳ* διατρίψουσιν. ἐν τῷ οἴκῳ
καθεδοῦνται. 24. *ἀλλά* : ὅμως δέ. 26. **a**. *δή* : οὖν. **b**. *ταύτης* : τῆς δυνά-
μεως δηλονότι τῆς παρούσης σοι. 27. *ἐκείνης* : τῆς ἐσομένης δηλονότι
δυνάμεως.

315v **35(32).654**.28. **a**. ἤγουν συντομωτάτην. **b**. *ἐπί* : εἰς. 29. **a**. διέγνω 30
καὶ διέκρινεν. **b**. ὁμοῦ. 30. **a**. *εἰσπρακτέον* : καὶ ἀπαιτητέον. **a**[1]. γρ. πρα-
κτέον, ἤγουν πορευτέον καὶ ἄξιον εἶναι πορεύεσθαι. **b**. *αὐτούς* : γρ. αὐτό.
b[1]. ἤγουν χάριν αὐτῶν. 31. *δημόσιος* : γραμματεύς. 32. **a**. ἕνεκα διαθήκης.
b. *συνείς* : ἤγουν γνούς. **c**. *ἅλλεται* : γρ. ἀγάλλεται, ἤγουν χαίρει.

36(34).654.33. *ἀθύρ* : νοεμβρίου. 34. *αὐτὸ τοῦτο* : μακαρίτης. 35

37(33).654.36. διὰ τοῦτο. 37. *προσεπάλαισεν* : ἤγουν ἠσθένησε νόσον
βαρεῖαν. 39. **a**. *καὶ νῦν* : ὑγιαίνων. εἰς ὑγείαν ἐπανελθών. **b**. *ἐν τοῖς*

---

7 σκοπ' ἀττικὸν πῶς C 10 σῶτα] cf. francogall. 'soute' 14 γενήσεσθαι C : ex J corr.

ὁμοίοις ἐστί : ἤγουν νοσεῖ. **c**. *τούτῳ* : τῷ Ἰωάννῃ. 40. *ἐργάζεται* : ποιεῖ.
41. **a**. *δυσκόλως* : ἤγουν δυσαρέστως. **b**. ἤγουν βαρέως διάκειται.

316 **38(35).655**.1. 'ἐπί', ὅτε δηλοῖ κίνησιν αἰτιατικῇ, ὅτε δὲ αἰτίαν δοτικῇ˙
ἐνταῦθα γὰρ αἰτίαν. 2. **a**. *εἶναι*. διὰ τό. **a**[1]. ἐπὶ τό. 3. **a**. *τοῖς συνι-
στᾶσι* : τοῖς μαρτυροῦσι. **b**. τοὺς *δεομένους* : τοὺς ἀδικουμένους. 6. *συνί-* 5
στημι : μαρτυρῶ. 7. *βῶλον* : τὴν κλῆρον. 9. **a**. *ἄξιος* κρίνεται. **b**. *συν-
τελεῖν* : σὺν τοῖς πρώτοις. **c**. *νεόβωλοι* : οἱ νέαν κληρονομίαν λαβόντες. οἱ
νεωστὶ λαβόντες κληρονομίαν. 10. διὰ τὴν πατρῴαν περιουσίαν.

39(36).655.12. **a**. ἐφέλκει. **b**. *παρά* : εἰς. **c**. *πόθος* : ἀγάπη. **d**. *πυν-
θάνομαι* : ἐρωτῶ. 13. *εἰ περιμένεις* : γρ. εἴπερ μενεῖς. 10

40(37).655.14. *ἀκροφυέστατον* : ἐπιτηδειότατον. 16. **a**. *ἁμίλλαις* :
ἀγῶσι. **b**. *ἐξάγῃς* : φέρῃς. 17s. κατὰ τὸν τόπον τῆς Λιβύης. 18. *ἐπὶ
τῇ νίκῃ* διδομένην. 19. *ἐν τῷ ἀγῶνι* ἁρμόδιος. 20s. ὡς τὸ 'ἡδὺς ὁ ποτα-
μὸς πιεῖν'. 21. *ὀχθώδης* : ὀστώδης. 21s. ἐλλιπὴς κατὰ τὴν *σάρκα*. 24.
ποτε : ἄρα. 24s. *συντελῇ* : λυσιτελῇ. ὠφελῇ. 25. *εἰ* : ἐπειδή. 26. **a**. 15
ἐκληρώσατο : εἴληχε. **b**. *πρός γε* : ὅμως δέ. 27. **a**. δυνάμενα *διαρκεῖν* ἢ
ὑπομένειν. **b**. *παρ'* : ἐν. **c**. *ἵπποι* : πλείους.

41(38).655.29. **a**. *ναῦν* : πεπληρωμένην δηλονότι. **b**. *εὐγενῶν* : ἐπιτη-
δείων. 31. **a**. *ὁλκάδες* : νῆες. **b**. *φήμην ἔχουσι* : λέγουσι περὶ αὐτῶν, ἤγουν
νηῶν. 32. **a**. ἤγουν τῶν Κερκυραίων. **a**[1]. οἱ Φαίακες ἐν τῇ Κερκύρᾳ ἦσαν, 20
ἢ καὶ τὰ Κέρκυρα λέγεται, οὐδετέρως˙ Κέρκυρα δὲ ἔστιν ἡ νῦν Κορυφοὶ ὀνο-
μαζομένη, πληθυντικῶς. 33. *νῆσον* : τῶν Φαιάκων.

42(39).655.35. **a**. *ἔλαχες* : ἔτυχες. **b**. *προσοχῆς* : ὑποθέσεως. ἀφορμῆς.
316v αἰτίας. | 40. **a**. *ἀκροάσεως* : τῆς διαθήσεως. **b**. *τὸν χρόνον* : κατά. 41.
τυγχάνομεν δεόμενοι : ἀττικόν. 25

43(40).656.2. *παρά* : διά. 4. *πράττων...πονήρως* : ἤγουν δυστυχῶν.
8. **a**. ἤγουν εἰ εὐδαιμονεῖς. **a**[1]. εἰ δὲ *φιλίαν* ἔχεις πρὸς τὴν τύχην. **b**.
σύστησον : γνωρίμως ποίησον. 10. ῥᾴδιον δὲ καὶ εὔκολόν ἐστι τῇ τύχῃ
τοῦτο. 11. **a**. *φύσαντος* : γεννήσαντος. **b**. *χαλεπῶς* : ἤγουν δυσκόλως.

322v **44(43).656**.14s. ἐποιησάμην σοι ὠφέλειαν ἐπὶ τῶν πάντων πραγμάτων. 30
ὅτε ἐδέου βοηθείας παρεῖχόν σοι βοήθειαν. 15. **a**. *χρήσιμος* : ἤγουν ἐπιτή-
δειος εἰς χρείαν σήν. **b**. παρηγόρησα. **b**[1]. παραμυθοῦμαι τὸν ἄνθρωπον.
καὶ παραμυθοῦμαι τὸ πρᾶγμα δι' οὗ ἔχει τὴν λύπην. 16. *ἑκάστοτε* : ἤγουν
καθ' ἕνα καιρόν. 17. **a**. *ὑπηγόρευσε* : ἔδωκε. **b**. *περί* : ἕνεκα. **c**. *κατα-
σχόντων*. 18. **a**. συνεισαγαγεῖν. κομίσαι. **a**[1]. συνεισενεγκεῖν. **b**. *γνώμην* : 35
βουλήν. 19. **a**. *μή* : οὐ. **b**. *ἔργον* : πρᾶξιν. **c**. *δύναμαι* : συνεισενεγκεῖν. **d**.
Συνέσιον κτλ. : εἰπέ μοι τὸν Πολύδωρον εἰ ζῇ, ὁ Πολύδωρος δηλονότι. **e**.
θέμις : δίκαιον τὸ πρὸς ἀνθρώπους, θεμιτὸν τὸ ἐπὶ θεῶν. 20. **a**. *ἐμπνεῖ* :

---

13 resp. Phot., *bibl.* 49b, p. 146, 16 Henry 30 πάντων] πρεπόντων J

ζῇ. **b**. *δύναται* : ὁ Συνέσιος. **c**. κατά, διὰ παντὸς τρόπου. 22. **a**. *ἅ* : τὰ
πράγματα ἐκεῖνα. **b**. ἤγουν ἃ δοκῶ εἶναι καλά. 23. ἤγουν κατὰ τὸν Ἡσίο-
δόν ἐστι ἡ φήμη θεός. 24. **a**. *διεχρήσω* : ἤγουν ἐφόνευσας. **b**. *τὸν μακα-
ρίτην* : τὸν ἀποθανόντα. **c**. *πράξας* : ἐνεργήσας τῷ φόνῳ. 25. ἤγουν βου-
λὴν δοὺς περὶ τοῦ φόνου. 25s. **a**. ἐποίησας δρᾶμα ὅπερ ἐβούλοντο ἂν 5
ποιῆσαι οἱ βάρβαροι. **b**. *συνθείς* : ἤγουν κατασκευάσας, συστήσας. **b**[1].
συμπλάσας. 26. **a**. *καθείς* : καταπέμψας. **b**. ἐκ τοῦ τάγματος τῶν στρα-
τιωτῶν· ἤγουν ὅτι ἐβουλεύσω τὸν φόνον. 27. **a**. *οὖν* : γρ. γάρ. **b**. *ψεύ-
δεσθαι* : τὴν φήμην. 28. οὐδὲν λέγει ὁ δεῖνα, ἀντὶ τοῦ ψευδῶς λέγει·
ὄντα δὲ λέγει, ἀντὶ τοῦ ἀληθῆ. 29. *μάτην* : ἤγουν ψευδῶς. 30. **a**. *ἕν* : 10
ψεῦδος. **b**. βούλομαι. προαιροῦμαι. **c**. *περὶ ἐλάττονος* : ἡ 'περί' τὸ
περισσὸν δηλονότι ἐνταῦθα, καὶ ἐπίτασιν τοῦ ἐλάττονος. **c**[1]. ἔλαττον.
31. *ποιοῦμαι* : ἤγουν νομίζω, ἔχω. 32. **a**. *ἀκούεις κακῶς* : ἤγουν ψέγῃ.
a[1]. ἤγουν ψέγῃ ὑπὸ πάντων. **b**. ἀτυχίαν πάσχεις. 34. **a**. ἤγουν κατ'
ἐκεῖνον τὸν τρόπον. κατὰ τὸ φονεῦσαι τὸν Αἰμίλιον. **b**. ὀφειλόμενον ἦν. **c**. 15
οὕτω : ἤγουν τῷ λέγειν κατὰ σοῦ ψευδῆ, κατὰ τὸ ἀτυχεῖν. 35. **a**. *δοκῶ* : ἀρε-
στὸν φαίνεται ἐμοί. **b**. *συνηθείας* : φιλίας. 35s. ἀντὶ τοῦ εὐάλωτος. 36. **a**.
κἀκείνως : κατὰ τὸ φονεῦσαι. **b**. *σέ* : δοκῶ μοι. 37. *ἐστι* : ἴδιον δη-
λονότι. 37s. βοήθειαν ἐπάγειν ὅσον δύναται. 38. **a**. *ἐξευρίσκειν* : μηχανᾶ-
σθαι. **b**. *ὅθεν* : ἀφ' οὗ πράγματος. **c**. *οὐκοῦν* : εἰργάσω τὸν φόνον. 39. **a**. 20
καθ' ἕτερον : κατὰ τὸν ἕνα. **b**. πρότερος ἐκ δύο· πρῶτος ἐκ πολλῶν. πότε-
ρος ἐκ δύο· τὶς ἐκ πολλῶν. ἅτερος καὶ ἕτερος ἐκ δύο· εἷς ἐκ πολλῶν. οὐδέτε-
ρος ἐκ δύο· οὐδεὶς ἐκ πολλῶν. 40. **a**. *ἔοικε* : δοκεῖ. **b**. *ταὐτόν* : τὸ ἕν. 41.
323 *ἴθι* : ἄπελθε. 42. μετὰ πάντων. | 43. **a**. *κἀκείνων* : τῶν λοχιτῶν. **b**.
ἤγουν εἰ ἐφόνευσας τὸν Αἰμίλιον. 44s. κυλιόμενος. 45. **a**. *διαπράξῃ* : σύ. 25
a[1]. ἐνεργήσῃς. **b**. *παρὰ τῆς ψήφου* : ἀπὸ τῆς κρίσεως τῶν νόμων. 46.
δίκην : τιμωρίαν. 46s. καλὸν γενήσεταί σοι. 47. προκαθαρθέντα. 48.
a. *ἀπελθεῖν* : ἀποθανεῖν. **b**. *ἄλλως* : μάταιον. 49. *κατὰ* σαυτόν. **657**.1.
a. μὰ τὴν ἱερὰν φιλοσοφίαν. **b**. *ὀναίμην* : ὠφέλειαν λάβοιμι. **c**. *προσέτι* :
σὺν τούτοις. 3. **a**. εἶχον φύσιν συμβουλεῦσαι. **b**. *εὔχομαι* ἵνα μὴ γένηται. 30
b[1]. εὔχομαι τῷ δεῖνι τόδε. 4. *αὐτῶν* : τῶν ἐχθρῶν. 4s. καὶ εὔχομαι *μήποτε*
γνώσουσι. 5s. ἤγουν τιμωρηθῆναι. 6. ἤγουν *αὐτοπροαίρετον*. 8. *ἐκεῖ* :
ἤγουν κάτω· ἤτοι ἐν τῷ ᾅδῃ. 8s. *κινδυνεύω* : ἀναγκάζομαι. βιάζομαι. 9. **a**.
ὡς : ὅτι. **b**. *ἀνόμοιον* : ἄνισον. 10. **a**. *παχεῖ* : γηΐνῳ. **b**. *εἰδώλῳ* : ψυχῇ.
10s. *δοῦναι τὴν δίκην* : τὸ τιμωρηθῆναι. 11s. τῆς θείας τάξεως. 12. *σκιά* : 35
μίμημα. εἰκών. 13. ἐν ταῖς ἐνεργείαις ταῖς παρούσαις ταῖς πόλεσι. 14. **a**.
αἱ ποιναί : αἱ τιμωρητικαὶ δυνάμεις. **b**. *τῇ φύσει* : ἤγουν τῇ διατάξει, τῷ
ὁρισμῷ τοῦ θεοῦ. 16. γναφεὺς ἐπὶ πετζίων· κναφεὺς ⟨δὲ⟩ ἐπὶ ἱματίων.

---

2 Hes., *Ἔργα* 760 - 764 16 τῷ J : τὸ C 21 *39b* in fol. seq. perperam C

17. *πιναροῖς* : ῥυπαροῖς. μεμολυσμένοις. 18. *λακτιζόμενα καὶ νιτρούμενα* :
πλυνόμενα. 19. **a**. *πάντα* : κατὰ. **b**. *κναπτόμενα* : λευκαινόμενα. 19s. *ὀδυ-
νῶν* : *λυπῶν*. 20. **a**. *κηλῖδας* : ῥύπους. **b**. *ἀρχαίας* : πολυετεῖς. **c**. *προσ-
τετηκότα* : συνιζήσαντα. **c**[1]. προσκολληθέντα. 21. **a**. *ὀμόργματα* : ἀπο-
σπογγίσματα· ῥυπάσματα. **b**. *πολλοῖς* : γρ. πολύς. 22. **a**. *ἐνέφυ* : ἐγένετο. 5
ἐνεκολλήθη, τοῖς ἱματίοις δηλονότι. **a**[1]. ἤγουν ἡνώθη οὕτως ὡς μὴ ἔξωθεν
δοκεῖν προσχωρῆσαι, ἀλλὰ φυσικῶς ἐνυπάρχειν· ἀφ' οὗ λέγεται παρὰ Φιλο-
στράτῳ τὸ ἐμφῦναι τῇ δέρῃ, ἤγουν δακεῖν καὶ κολληθῆναι· καὶ ἐπὶ παντὸς
δὲ ἰσχυρῶς κατέχοντός τι λέγεται τὸ ἐμφῦναι, διὰ τὸ τὰ ἐσφιγμένα δοκεῖν
ἡνῶσθαι τοῖς σφίγγουσι αὐτά, ὡς ἓν γίνεσθαι. **b**. *σφόδρα* : λίαν. 22s. 10
ἀναπάλλακτος : ἤγουν ἀχώριστος. 23. **a**. *φθάνει* : προλαμβάνει τὰ ἱμάτια.
b. *διαφθαρέντα* : κατακοπέντα. **c**. *πρίν* : πρὸ τοῦ. **d**. *εἰς τὴν φύσιν* : ἤγουν
ὁποῖα ἦσαν. 25. **a**. *διὰ μέγεθος* : τοῦ ῥύπου. **b**. *ἐχούσῃ* : ἤγουν διακειμένῃ.
26. *εἶχεν* : ἤγουν διάκειτο, τὸ πρᾶγμα δηλονότι. 27. **a**. *λόγον ἔχει* : ἤγουν
ἀναλογίαν κέκτηται. **b**. *ἀνεκπλύτους κηλῖδας* : ἀκαθάρτους ῥύπους. 29. **a**. 15
ἀντέχον : ὑπομένον. **b**. *τίνει* : δίδωσι. 30. **a**. ἁμαρτήματα ποιήσῃ. **b**.
323v *δευσοποιά* : στύφα. **c**. μὴ ἔχοντα φύσιν ἀπονίπτεσθαι. | 31. **a**. *βίῳ* : ἐν τῇ
ζωῇ. **b**. ἤγουν τιμωρούμενος. 32. *προσιζῆσαν* : προσκεκολλημένον. 33. *ἀρ-
τίως* παθοῦσα. 36. **a**. ἀναπείθει. **b**. *κυρίους* : ἐξουσιαστάς. 37. *ἐπιτέμνειν* :
κύπτειν. 38. *παραπλήσιον* : ὅμοιον. 39. ἤγουν *ἐπεξέρχεται* καὶ κολάζει, 20
τιμωρεῖται. 40. **a**. *ἐν τῷ μέρει* : κατὰ μέρος. **b**. *δεῖ* : πρέπον ἐστί. **c**.
πᾶσιν : τοῖς ἀδικηθεῖσι. **d**. ὑπηρετῶ σοι· διακονῶ σοι. 40s. τὴν δικαιο-
σύνην. 41. *ἰάσιμος* : ἔχων φύσιν θεραπευθῆναι. δυνατὸς θεραπευθῆναι.
41s. μεγάλην δύναμιν ἔχει ἐκεῖνος. 42. **a**. *δύναται* : ὑπὸ τοῦ. **b**. *τῷ* : τό.
c. *προπεπονθέναι* : παθεῖν. 43. **a**. γρ. παρὰ τῶν ἠδικημένων αὐτῶν. **b**. 25
ἔλεον : ἐλεημοσύνην. **c**. *εὑράσθαι* : -έ-. 44. *εἰκός ἐστι* : εἰκάσαι. 45. **a**.
συμπαθεστέρας. συμπάθειαν παρεχούσης. **b**. τὸ οἶμαι ἐπὶ ὑπολήψεως· τὸ
δὲ οἶδα ἐπὶ βεβαίας γνώσεως. 46. *σαφῶς* : εἰς ἀκρίβειαν. 47. ἡμῖν. 47s.
ὁμο*λογίαν*. 48. **a**. γρ. καὶ δίχα τοῦ 'ὑπέρ'. **b**. *καταστάς* : γενόμενος. 49.
ὁμολογῆσαι : εἰπεῖν ὅτι ἐγὼ ἥμαρτον. 49s. *εἶναι* : αὐτός. 50. *ἐνευωχηθῆ-* 30
ναι : ἤγουν ἐντρυφῆσαι. 51. *εἴτε πράγμασι* : γρ. εἴτε σώμασι. 54. *αὐτήν* :
μόνην. 54s. ἐγώ εἰμι ἡ ψυχή μου· τὸ σῶμα δὲ κατ' ἐμέ ἐστιν. **658**.2. **a**.
ἐγγεγραμμένον. ἐντετυπωμένον. **b**. *τοὐπίσημον* : τὸ διάδηλον. 3. ἑλκυ-
σθήσῃ σύ. 4. *ἐκκείσῃ* : ἐκδοθείσῃ. 5. **a**. *δημοσιευθεῖσα* : εἰς τὸ φανερὸν
γινομένη. φανερωθείσῃ. **b**. *μετά*γνωσις. **c**. ἄξιόν ἐστιν ἀνδρίζεσθαι, τὰ 35
τῶν ἀνδρῶν ποιεῖν. 7. **a**. καταφρονητέον. ἄξιόν ἐστιν ὑπεριδεῖν, καταφρο-
νῆσαι. **b**. *ἐπορισάμεθα* : ἐκομισάμεθα. ἐλάβομεν. 8. **a**. οὐκ ἄξιόν ἐστιν

---

28 ἡμῶν C[t] : ἡμῖν *He* 29 ad *48a* scripsi secundum J : γρ. ἁμαρτήματος C
35 φανερωθήσῃ C[ac]

αἰδεῖσθαι, αἰσχύνεσθαι. **b**. τῷ καθημένῳ ἐπὶ τῷ *δικάζειν*. 9. **a**. *ἐξιλα-*
στέον : ἤγουν ἄξιόν ἐστιν ἐξευμενίσασθαι, **b**. *παραυτίκα* : τῇ ταχυτῆτι τῆς
μετανοίας. ταχύτης˙ τὸ ἐναντίον ἡ βραδύτης. 9s. *τίσει* : τιμωρίᾳ. 10. **a**.
τὰς ἐν τῷ ᾅδῃ. **b**. τὰς τιμωρητικὰς δυνάμεις. 10s. τοῦ μὴ ἐμπεσεῖν εἰς
ἁμαρτίαν. 11. δίκαιον γενέσθαι διὰ μετανοίας. 12. **a**. *ἀκόλαστος* : μὴ παι- 5
δευόμενος παρά τινος. **b**. *δεῖ* : πρέπον ἐστί. 13. τὸν μάλιστα πάντων
324 ἀτυχῆ. 14. **a**. *κήδεται* : φροντίδα ποιεῖται. | **b**. *ταύτῃ* : οὕτως. 14s. **a**. τὸ
ἀτιμώρητον εἶναι. **a**[1]. ἀκόλαστον ἦθος τὸ ἀπαίδευτον˙ κεκολασμένον δὲ τὸ
πεπαιδευμένον. 15. **a**. *πρὸς κακοῦ* : ἀττικόν˙ ἴδιον. **b**. *λέγεται... ἀκούεται* :
ἤγουν νοεῖται παρὰ πάντων. 16. **a**. τὸ κεκολασμένον εἶναι. **b**. *πρὸς ἀγα-* 10
θοῦ : ἴδιον. **c**. *ἐναντίῳ* : τοῦ κακοῦ δηλονότι. 16s. *τὸ ἐναντίον* : τὸ κεκο-
λασμένον. 17. *ὁ λόγος νέμει* : ἡ κρίσις τῶν φιλοσόφων παρέχει. **b**. *παρὼν*
ἐτύγχανον : ἀττικὸν ἀντὶ τοῦ ʽπαρῆν᾿. **b**[1]. μετὰ σοῦ. 18. **a**. *ἔδει* : χρεία
ἦν. **b**. *πρᾶγμα* : ὄχλησις. **c**. *ἀπερυθριῶντα* : τὴν αἰδῶ ἀπορρίπτοντα. 19.
a. *καταγγέλλοντα* : δηλοῦντα. **a**[1]. γρ. προσ- **b**. εἶχον φύσιν τάξαι. 19s. 15
βοηθήσοντά σοι. συνήγορος γενέσθαι σοί. 20s. *καθάπερ κτλ.* : ἤγουν κομί-
ζουσι τοὺς ἀσθενοῦντας εἰς ἰατρούς. 21. *ὡς* : ὅτι. 22. **a**. κατήγορός ἐστι.
b. *ἠπίστασο* : ἐγίνωσκες. 23. **a**. φειδὼ τοῦ ἀνθρώπου τοῦ φειδοῦντος, ἤγουν
τοῦ ἐλεοῦντος καὶ δι᾿ οὗ γίνεται ἡ φειδώ. **b**. *κηδεμονίᾳ* : φροντίδι. **c**.
κατηγορίαν : τὴν κατ᾿ ἐμοῦ. 23s. *εἱλόμην* : ἔλαβον. προέκρινον. 24. **a**. ἐν 20
ταῖς δυστυχίαις ἐν αἷς ὑπάρχεις. **b**. *ἄμεινον* : εὔχομαι. **c**. *ταῦτα* : ἅπερ
εἶπον ὕστερον. 25. **a**. ἐγένετο. **b**. *σου... ἕνεκα...* : εἶπον δηλονότι. 26.
ἅπασα : ἡ πόλις. **b**. *μιαρὰ* : μεμιασμένη. **c**. ὑπὸ τοῦ φόνου. 27. **a**. μετὰ
τόλμης προαχθέντος. **b**. *αἵματος* : φόνου. **c**. συγγενοῦ. **c**[1]. ὁμόγνιον τὸ
τῶν ὁμογενῶν, ὥσπερ συγγενικὸν τὸ τῶν συγγενῶν. ὁμογενεῖς δέ εἰσιν οἱ 25
ὁμοεθνεῖς. **d**. ἤγουν καθαριεύεις τοῦ πάθους. 28. **a**. *γνώμην* : κατὰ τὴν
βουλήν. **b**. *εἴη* : εὔχομαι. **c**. *κατάρατοι*. **d**. *οἵ* : ἔστωσαν. 29. **a**. *συνθέν-*
τες : ἤγουν συμπλάσαντες˙ οἱ ψευσάμενοι ταῦτα κατά σου ⟨δηλονότι⟩. **b**. *κατά*
σου. **c**. *κἀκείνους* : τοὺς συνθέντας τὴν αἰτίαν. 30. **a**. κάτω. **b**. *ὡς* : ὅτι.
30s. μισούμενος ὑπὸ τοῦ θεοῦ. 31. **a**. ὁ συντιθέμενος ψευδεῖς *λόγους*. **b**. 30
ὁ τιτρώσκων : ὁ βάλλων. **c**. *ἐξ ἀφανοῦς* : κρυφίως. 31s. *ἀγεννέστατος* :
ἀσθενής. ἀφελής. 33. **a**. λέγεται εἶναι αὐτοῖς μερίς. **b**. *αὐτοῖς* : τοῖς λογο-
ποιοῖς. **c**. *κιναίδοις* : ἐν τοῖς. **c**[1]. τοῖς πόρνοις. τοῖς ἀστάτοις ἀνθρώποις.
34. *τοῦτ᾿* : τὸ λογοποιεῖν. 35. **a**. *σοφισταί* : ἤγουν ἐφευρεταί. **b**. εὔποροι.
36. **a**. *ἁλῷ* : ἤγουν κρατηθῇ **b**. *φήμας* : λόγους. **c**. ἤγουν τοῖς ψευδέσι 35
πλάττων. 37. διστάμενον σχῆς. 39. **a**. *ἡμίγυνον* : ἄνανδρον. **b**. *θιασώτην* :
συγχορευτήν. **c**. *τῆς* : τοῦ. **d**. *Κότυος* : δαίμων ἔφορος τῆς ἄρρενος μίξεως.
Κότυς θεὰ ἔφορος τοῦ λογοποιεῖν καὶ ἑτέρων κακῶν πραγμάτων. 40. **a**.

---

26 καθαρειεύεις C

ἔξεστιν : δυνατὸν ἐστί. **b**. *τούτων* : ὧν εἶπον. **c**. *ἀποδεῖξαι*. 40s. *συκο-*
φαντοῦσαν : ψευδῆ λέγουσαν. 41. **a**. *τὴν δόξαν* : τὴν ὑπόληψιν. **b**. ἐπιδώ-
σεις. 42. **a**. *τῇ δίκῃ* : τῇ κρίσει. **b**. *εἰσελθών* : εἰς τὸ κριτήριον. **c**. *ὡς* :
ὅτι. 43. ἄξιον κρίνουσι. 45. **a**. *κινδυνεύουσι* : προχωροῦσι. **a**[1]. καὶ παρὰ
μικρὸν τὸ πρᾶγμα κινδυνεύει πεισθῆναι. **b**. *ἐνίους* : τινάς. 46. **a**. ἐπιβου- 5
λὰς ἐργαζόμενοι. **b**. *δεινοὶ* : ἐπιτήδειοι. 47. **c**. διελθών. διηγησάμενος. **d**.
ἐφ᾿ αἷς : δι᾿ ἅς. **e**. *ἀκούεις κακῶς* : ἤγουν ὑβρίζῃ. 49. **a**. *ὑπό* : παρά. **b**.
κάθετον : κατάμεμπτον. **c**. *ἅμα* : σὺν σοί. 50s. ἐπιμόνως ⟨δεόμενος⟩. 51.
ἐρήμην : κρίσιν κακήν. 51s. ἁλίσκομαι ἐνεστώς. ἡλισκόμην παρατατικός. ἁλώ-
σομαι μέλλων. ἑάλωκα παρακείμενος. ἑάλων ἀόριστος δεύτερος. 53. **a**. ἤγουν 10
κατηγορίαν **b**. εἰς τὸ φανερόν. **c**. *ἀπηνέγκατο* : ἐκόμισε. **d**. *παρά* : διά.
324v 54. *βασάνου* : τιμωρίας. **659.1. a**. *μετιόντα* : ἐξερχόμενον. | **b**. *θηρώμενον* :
ἐπιζητοῦντα. 1s. *διαβεβοημένος* : ὁ λεγόμενος ὑπὸ τῆς φήμης ὅτι ἐφόνευσε
τὸν Αἰμίλιον. 2. χράω χρῶ ἐνεστώς˙ τὸ δανείζω καὶ τὸ μαντεύω. ἔχραον
ἔχρων παρατατικός˙ χρήσω μέλλων˙ ἔχρησα ἀόριστος. χράομαι χρῶμαι ἐνε- 15
στώς˙ ἐπὶ χρείας. ἐχραόμην ἐχρώμην παρατατικός˙ χρήσομαι μέλλων˙ ἐχρη-
σάμην ἀόριστος˙ κέχρημαι παρακείμενος. 4s. *κἂν μὲν οὕτω σου λέγοντος* :
καινοπρεπὴς σύνταξις. 5. **a**. *λέγοντος* : σοῦ. **b**. *οὐ* : γρ. μή. **c**. *πείθηται* :
ὁ κριτής. 8. *λογοποιούς* : ψευδολόγους. 9. *αἰσχῦναι* : γρ. κατ-. 11. **a**.
κρεμασθήσεται. **b**. γρ. τὰ πλευρά. **c**. ὀρύσσω ἐνεστώς˙ ὤρυσσον παρατα- 20
τικός˙ ὀρύξω μέλλων˙ ὤρυξα ἀόριστος˙ ὀρώρυχα παρακείμενος. ὀρύσσομαι
ἐνεστὼς παθητικός˙ ὠρυσσόμη παρατατικός˙ ὀρυγήσομαι μέλλων˙ ὠρήγην
ἀόριστος˙ ὀρώρυγμαι παρακείμενος. 11s. ἐλέγξαι. 12. **a**. *προσποίησιν* : ὑπό-
κρισιν. **b**. *οἱ βασανισταί* : οἱ κολασταί. 13. *ἐξευρημένοι* : ἤγουν ἐπινενοη-
μένοι. 14. *ἐκείνων κρατούντων* : τῶν ὀνύχων ἐνεργούντων. 15. *ἀπολυθῇς* : 25
ἐλευθερωθῇς. 16. **a**. *ἄπει* : ἀπελεύσῃ. **b**. *γαῦρος* : ἤγουν μετέωρος καὶ
ἐπηρμένος. 17. **a**. *εὐαγής* : καθαρός. **b**. *εὐαγὴς καὶ ὢν* : γρ. εὐ. τε ὤν. **c**.
εἰσηγησάμην : συνεβουλευσάμην. 19. *πρόσει* : προσελεύσῃ. 20. *ἥκων* :
ἐρχόμενος. 21. φάραγξ ὁ διεσχισμένος τόπος. 22. τὸν προσποίητον, ἐπί-
πλαστον. 24s. καὶ *ὅτι* εἶπε καὶ *ὅτι* ἤκουσεν, εἰ δή τι καὶ εἶπε καὶ *ἤκουσεν*, 30
εἰ δ᾿ ἀναίτιος σύ : γρ. καὶ ἤκουσε καὶ εἶδεν, εἰ δή τι εἶπε καὶ *ἤκουσε, καὶ* οἶδεν,
ὅτι καὶ τύχοις μὲν ἀναίτιος σύ. 27. *ἐξάγιστον* : μυσαρώτατον. 30. **a**. *ἀλά-*
στορας : φονεῖς. τὰς τιμωρητικὰς δυνάμεις. **b**. φοβούμεθα τὰς δυνάμεις
αἳ ἐκδικοῦσι τὸν Αἰμίλιον. **c**. *ἐναπομόρξῃ* : ἤγουν ἀποστρέψῃ. 31. *προσ-*
τροπήν : ἤγουν τὸ μίασμα. 32. *προσερανίζεσθαι* : ἤγουν καὶ πρὸς τούτοις 35
ἑτέρας συνάγειν.

45(44).659.33. *λυποῦσι* : ταράττουσι. 34. **a**. ὑπὸ παττάλων. **b**. *ἐκ-*
κρούονται : ἐκβάλλονται. **b**[1]. ἐκρίπτονται. ἀπελαύνονται.

---

8 ex J ins. 9 sch. ad 51s. in f. seq. perperam descripsit C

325v **46.48.659**.35. **a**. *καλός* : ἤγουν ὑπῆρχε. **b**. *φυλαξάμενος* : ἤγουν ἀπο-
φυγών. 36. μελλούσας ἔσεσθαι. 36s. *προέγνω*. 37. **a**. *ἀλλ'* : ἐπειδή. **b**.
εὐτυχοῦντι : τῷ Πολυκράτει. **b**[1]. εὐτυχίαν ἔχοντι Πολυκράτει. **c**. *πέμψας* :
ὁ Ἄμασις. 38. **a**. *ἀπηγόρευσεν*. **a**[1]. ἤγουν ἠρνήσατο. 38s. *προύλαβεν* :
προέφθανεν. 39. **a**. ἤγουν τὴν *ἀπαγόρευσιν*, τῆς φιλίας δηλονότι. **a**[1].
ἀπόρρησιν ποιήσασθαι φιλίας. 39s. **a**. ἤγουν ἕως οὐκ ἐδυστυχοῦμεν. **a**[1]
ἤγουν ἕως οὐκ ἐμπόδιον ἡμῖν καθίστατο ἡ τύχη. 40. **a**. *προσεκόπτομεν* :
προσεκρούομεν. **b**. *σὺν* ἡμῖν ὑπῆρχες φίλος ὤν. 41. *συναπῆλθες*. 41s. ἤγουν
λέγουσιν οἱ ἄνθρωποι οἱ ἐρχόμενοι ἀπὸ τῆς Θρᾴκης. 42. **a**. *οὐδέν* : ἐπιεικές.
b. ἤγουν διατίθεσθαί σε φιλικῶς πρὸς ἡμᾶς. 43. **a**. *ἐπιεικές* : ἤγουν μέτριον.
b. *ὅλως* : παντελῶς. 44. **a**. ἤγουν πρὸς τῇ προτέρᾳ λύπῃ ἐπαγαγεῖν σε καὶ
ἑτέραν λύπην. **b**. *φιλίαν ἀπειπεῖν* : ἤγουν ἀπόρρησιν ποιήσασθαι φιλίας.
c. *ἀνειπεῖν* : ἤγουν ἀναγορεῦσαι. **c**[1]. ἤγουν ἀπαρνήσασθαι. **d**. ἀρκετὸν ἦν.
44s. *εἴπερ ἄρα ἐδόκει* : ἀρεστὸν ἐφαίνετο. 45. **a**. *συνανιᾶσθαι* : συλλυπεῖσθαι.
b. ἤγουν πρὸς τὸ μὴ συναλγῆσαι καὶ ἀνιᾶσαι. 46. **a**. εἰς βάθος τῶν δει-
νῶν, γρ. **a**[1]. ἐπέκεινα τῶν δεινῶν, καὶ πέρα τῶν δεινῶν, γρ. **b**. *Ἀμάσι-
δος* : ἔστιν ἔργον δηλονότι. 46s. ἤγουν ἀνθρώπου. 48. **a**. ἐσκέψω κρεῖτ-
τον. **a**[1]. ἐσκεμμένον ἐστὶ ὑπὸ σοῦ. **b**. ἤγουν τὸ δοκοῦν ἄξιον εἶναι ποιεῖ-
σθαι. 49s. *πάσχω κακῶς* : ἤγουν δυστυχῶ. 50. πρόξενός εἰμι ἡδονῆς τοῖς
φίλοις.

47(49).660.1. ὀργὴ τοῦ ὀργιζομένου καὶ ὀργὴ τοῦ δεχομένου τὴν
ὀργήν, ἤγουν πρὸς ὃν ἡ ὀργή· καὶ ὀργὴ τὸ πρᾶγμα δι' οὗ ἡ ὀργή. 2.
a. μετὰ τέχνης. **b**. καταλύειν. 3. *τὸν οὕτω μετιόντα* : ἤγουν τὸν μετὰ
τέχνης καταλύοντα τοὺς νόμους. τὸν οὕτω πειρώμενον καταλύειν τοὺς
νόμους. 4. **a**. *οὗτος* : ὁ Πέτρος. **b**. *νεανικώτερος* : ἐπηρμένος μᾶλ-
λον. 4s. *ἐκείνου τἀνδρός* : τοῦ Διοσκουρίδου. 5. **a**. *ὅτου* : πράγματος.
b. *ἐπιθυμήσῃ* : ἐπιθυμίαν σχῇ. 6. *ἑαυτῷ* : γρ. -όν. 7. **a**. τὴν κρίσιν. **b**.
ἁλῷ τῇ ψήφῳ : κρατηθῇ τῇ κρίσει. **c**. *κρατεῖ* : δυναστείᾳ χρῆται. 8. **a**.
πρῴην : γρ. πρότερον. **a**[1]. πρῴην ἐπὶ πολλοῦ χρόνου· πρότερον ἐπὶ ὀλίγου·
b. *ἐγράψατο* : κατηγόρησεν. 9. *ὁ μέν... ὁ δέ* : ⟨ὁ⟩ γραψόμενος... ὁ Πέτρος.
10. *πρὸς ὅν* : γρ. πρὸς ὅ. 10s. *νεμεσήσας* : ἤγουν δικαίως ἀγανακτήσας καὶ
μεμψάμενος. 11. **a**. *νομίσας* : ἡγησάμενος. **b**. ἤγουν οὐκ εἶναι ἄξιον ζῆν,
ἄξιον ζωῆς. **b**[1]. ἤγουν οὐκ ἔστιν ἄξιόν τινα ζῆν ἐκεῖ ὅπου οὐκ ᾖ δικαία
κρίσις. 12. *παρεσκεύασα* : ηὐτρέπισα. ᾠκονόμησα. 13. **a**. *λαμπροτάτους* :
ἤγουν περιφανεστάτους. **b**. *εἴξαντας* : ὑποταγέντας. **c**. *ἀποφάσει* : τῶν νό-
μων. **d**. βοήθειαν ποιῆσαι. 14. **a**. *προυχώρησεν* : ἐξεγένετο, τὸ πρᾶγμα δηλο-
νότι. **a**[1]. εἰς τέλος ἦλθεν. **b**. *αὐτῷ* : τῷ Πέτρῳ. 15. **a**. *ὀλίγου* : χρόνου. **b**.
φύσιν εἴχομεν θεάσασθαι. **c**. *ᾧ* : πράγματι. **c**[1]. ἤγουν ἐν τῷ μὴ δυνηθῆ-

---

11 πρὸς τῇ redupl. C 14 ἐδόκει om. *He* 26 τοῦ Διοσκουρίδου scriba ipse eras.

7 - 4 - 1961

ναι τὸν Πέτρον ποιῆσαι ὅπερ ἠβούλετο. 16. ὁμολογῶ χάριν. οἶδα χάριν.
19. **a**. *θεοῦ* : τοῦ. **b**. *παρά* : ἀπό. **c**. *καλῶς ἔχει* : τῷ Μαρτυρίῳ. 20.
326 *λαβεῖν* : τὸν Μαρτύριον. | 21. **a**. *τοῦτο* : ἤγουν ὑπερισχύσῃ ὁ Πέτρος **b**.
δέω δῶ, τῷ δεσμῷ, ἐνεστώς· ἔδεον ἔδουν παρατατικός· δήσω μέλλων· ἔδησα
ἀόριστος. δέομαι δοῦμαι ἐνεστὼς παθητικός· ἐδεόμην ἐδούμην παρατατι-
κός· δεθήσομαι μέλλων· ἐδέθην ἀόριστος· δέδεμαι παρακείμενος. **c**. *σοῦ* :
Θεοτίμου. 23. **a**. κωλύσατε παίζειν· καὶ κωλύσατε μὴ παίζειν. **b**. *τήν* :
ὁδόν. 24. **a**. ἤγουν διὰ τῶν κριτῶν τῶν ἐχόντων τοὺς νόμους. **b**. *ἐπὶ
τοὺς νόμους* : κατὰ τῶν νόμων. 25. **a**. *γεγονέναι* : ἐμέ. **b**. *φίλῳ* : ἤγουν
τῷ Μαρτυρίῳ. 26. *ἀνακοπείη* : ἀνασταλείη. 27. *πάντων* : τῶν ἀνθρώπων.
28. πρόξενε μάλιστα τῶν ἀγαθῶν πραγμάτων.

48(50).660.29. *ἐποίησας* : γρ. ποιεῖς. 30. *ἐπαναστραφείς*. 31. *παρά* :
διά. 32. **a**. ἤγουν ἀτυχής. **b**. *ἰδικῶς* συντελεῖ. **c**. *παρ'* : εἰς. 33. **a**. *οὗ* :
ὅπου. **b**. διάγων. **b**[1]. διατρίβω ἀντὶ τοῦ βραδύνω καὶ ἀντὶ τοῦ διάγω·
ἐνταῦθα δὲ ἀντὶ τοῦ διάγω. καὶ διατριβὴ ἡ ὁμιλία. 34. **a**. *λήψῃ* : ἀπ' ἐμοῦ.
b. *πέμψεις* : ἐμοί. 35. γρ. ἀγώγιμον.

49(51).660.36. *συνουσίας* : ὁμιλίας. 36s. ἀπολαύω σου τόδε· ἀπὸ γενι-
κῆς εἰς αἰτιατικήν. καὶ ὠνοῦμαι τοῦδε τόδε ὁμοίως. 38. *τῆς* : ἕνεκα. 39.
τῆς σῆς : ἕνεκα ὁμιλίας. 40. ἤγουν δυναμένῳ. 41. **a**. *ἦθος* : φιλίαν. **b**.
ἀκαπήλευτον : ἄδολον. **b**[1]. ἤγουν μὴ πιπρασκόμενον. καπηλεύειν γὰρ τὸ
πιπράσκειν· κάπηλος ἀπὸ τοῦ κακύνειν καὶ μιγνύειν τὸν πηλὸν καὶ τὸν οἶνον,
ἐξ οὗ καὶ ἀκαπήλευτος ὁ ἄδολος. 41s. *παρεχόμενος* : διδούς. 42s. θεοφι-
λὴς ὁ ὑπὸ θεοῦ φιλούμενος, καὶ θεομισὴς ὁ ὑπὸ θεοῦ μισούμενος. 44s.
ἕνεκα ἀργυρίου. 45. *διαλέγεσθαι* : ὁμιλεῖν. 46. *συνέστησε* : συνεμαρτύρησε.
47. **a**. *ὦσι* : ἤγουν ζῶσι. **b**. *πολύς* : μέγας. **661**.1. *διατριβαῖς* : ἤγουν ταῖς
σπουδαῖς, ὁμιλίαις. 2. **a**. *ἐκεῖνος* : γρ. αὐτός. **b**. αὔξεις τὸ ὄνομα ἐκείνου
δηλονότι. 3. *ταμιεύειν* : φυλάττειν. 4. *περιέρχεται*.

50(52).661.6. **a**. ἀντιπολιτευομένου. **b**. κατ' αὐτοῦ. **c**. τοῦτο. 6s.
συμπλάσαι : συνθέσαι. 9. **a**. δέον εἶναι. **b**. τὸν Ἰωάννην ἀποτροπιάζεσθαι.
ἀποτρόπαιον, μισητὸν ἡγεῖσθαι. 10. **a**. *ἔστιν* : κατὰ τοὺς τρόπους. **b**.
πεποίηκεν : τὸν φόνον. 12. **a**. *αἰτίαν* : κατηγορίαν. **b**. *τοὺς* διαβάλλοντας
326v τὸν Ἰωάννην· περὶ ὧν ὁ λόγος ὅτι διέβαλον τὸν Ἰωάννην. | 13. **a**. *πρός* :
ἴδιον. **b**. ἐπιχείρημα. **c**. *ὡς* : ὅτι. 14. *ἀνοίκειον* : μὴ προσῆκον. ἀνάρ-
μοστον. 16. **a**. *ἑταιρήσεως* : ἀρρενομανίας. **a**[1]. ἑταίρειν λέγεται τὸ ἑαυτόν
τινα παρέχειν εἰς τὸ μιαίνεσθαι. **b**. *διώκοι* : κατηγοροίη. 17. **a**. ἤγουν ὁ
Πάρις. **b**. *θῆλυς* : καὶ καταπύγων. 17s. *θηλυδρίας* : ἤγουν γυναικώδης.
18. **a**. *αἰτίαν* : κατηγορίαν. **b**. ἀνεχώρει. 20. *τὰ πλεῖστα* : καταπολύ. 21.
ἐγώ : δέ. 22. **a**. *τοιούτων* : ἤγουν λογοποιῶν. **b**. στέρησιν ἔχων. **c**. *δια-*

---

35 διώκοι C^{sl} : -ει C^1

κεχωρίσθω. 24. **a.** *ξένος* : ὤν. **b.** *ξένοις* : ἀνθρώποις. **c.** *βιῴην* : εἴθε
διάγοιμι τὴν ἐμὴν ζωήν. 29. **a.** ἀλλὰ μὴ δὲ γράφε. **b.** τῶν ἀπ᾽ αὐτοῦ.
30. συνίστα. 30s. ἤγουν οὔκ ἐστι δυνατὸν ἐπιδοῦναι. 33. **a.** στέρησιν
εἶχον. **b.** μετοχὴν ἔχω. **c.** *ἀντιλογιῶν* : ὀχλήσεως. 34. **a.** *ἀφελκόντων* :
καὶ ταῦτα χωριζόντων. **b.** *ῥᾳστώνης* : ἀδείας καὶ ἀναπαύσεως. 36. **a.** 5
προῖκα : δωρεάν. **b.** *περιεργασαίμην* : γρ. -άσομαι.

51(53).661.37ss. ἐπιστολὴ κατὰ τρόπον διηγήσεως. 37. **a.** λύσαντες,
τὰ ἱστία δηλονότι. **b.** ὁ Φυκοὺς τοῦ -ντος. **c.** ἀρχὴν λαμβανούσης τῆς
πρωΐας. **d.** *δείλης* : ὥσπερ 'νυκτὸς' ἀντὶ τοῦ 'ἐπὶ τῆς νυκτός'. 38. **a.** γρ.
Ἐρυθρᾶς. **b.** ἐνελιμενίσαμεν. *προσέσχον* τῷ λιμένι, ἤγουν ἐγενόμην ἐν τῷ 10
λιμένι. 38s. *ἐνδιατρίψαντες* : βραδύναντες. 39. **a.** *ὅσον* : τοσοῦτον καιρόν.
b. *ὑδρεύσασθαι* : ἐν τοῖς ἀγγείοις βαλεῖν. 40. **a.** *δέ* : γάρ. **b.** *αὐτῆς* : γρ.
-ήν. **c.** *ἐκδιδόασι* : ἤγουν ἐκβλύζουσι. **d.** *καθαροῦ* : ἤγουν τοῦ αἰγιαλοῦ.
42. ἤγουν εὐτυχήσαντες πνεύματος. 44. **a.** *ἀνύειν* : πληροῦν. **b.** *ἐξηνυκό-*
τες : πληρώσαντες. **b**[1]. ἤγουν διεξεληλυθότες. 45. **a.** πεμπτέος ἀντὶ τοῦ 15
'ἄξιος πεμφθῆναι', ψιλόν. πεμπταῖος δὲ ἦλθέ τις, ἀντὶ τοῦ 'κατὰ πέμπτην
ἡμέραν', δίφθογγος. **b.** *φρυκτόν* : πυρσόν. φανόν. **c.** ἐπαίρουσιν οἱ ἄνθρω-
ποι. 46. **a.** *σύνθημα* : σημεῖον. **a**[1]. ἀπὸ μεταφορᾶς λέγεται τοῦ ἐν τοῖς
ἀγῶσι συνθήματος, οὕτινος αἰρομένου οἱ ἀγωνισταὶ εὐθὺς ἠγωνίζοντο. 46s.
ἤγουν παρὰ προσδοκίαν ἤλθομεν ἔνθα ἐχρῄζομεν. 47. ἀπέβη⟨μεν⟩ τῆς νηός. 20
48. λυπηρά. 49. ὁ ἅλς τοῦ ἁλός.

327 **52(54).662.**1. **a.** ἐμβατοπώλης. **a**[1]. κρηπὶς τὸ ὑπόδημα. 2. *ἐωνῆσθαι* :
ἀγοράσαι. 4. **a.** *ἐμπορεύεσθαι* : πραγματείαν ποιεῖσθαι. ἐμπορία γὰρ ἡ πρα-
γματεία. **b.** ἐν τῇ Ἀττικῇ χώρᾳ ἐργασθείσας. 5. ἐνδύματα· ἀναβολὴ τὸ
ἔνδυμα καὶ ἡ ὑπέρθεσις. 7s. *προεντυγχάνοντες* : πρότερον λαμβάνοντες τὰ 25
πράγματα. 10. *πρίω* : ἀγόρασον. 11. **a.** *κατάθῃ* : καταβάλῃς. **a**[1]. κατέ-
θετο τὸν πόλεμον· κατέθετο τὰ ὅπλα.

53(55).662.13. **a.** *μῆκος* : τὸ μέγεθος. **b.** ἤγουν τὸ μὴ ἔχειν *οἰκείως*
πρὸς τὸν γράψαντα. 13s. *διακομίζοντος* : τοῦ γραμματοκομιστοῦ. 17. *τῷ*
νόμῳ : τῇ συνηθείᾳ. 19. **a.** ἐμὲ σοί. **b.** *υἱοῦ* : σοῦ. 19s. τὸ μέν... τὸ δέ. 30
22. *παρεσχόμεθα* : ἔδομεν.

54(56).662.26. **a.** *συχνοί* : πολλοί. **b.** *παρ᾽* : ἐν. **c.** *παρ᾽ ἡμῖν* : ἐν
Κυρήνῃ. 26s. *πλαττόμενοι* : ἀνατυποῦντες. 27. *ἀποκαλύψεις* : ἤγουν θεῖα
ὀνείρατα. 28. **a.** *ἐοίκασιν* : δοκοῦσι. **b.** φανερῶς τὸ 'ὕπαρ' ἐναντίον τοῦ
'κατ᾽ ὄναρ'. 31. *ἐκεῖ* : ἤγουν ἐν τῷ Πειραιεῖ. 34. **a.** *ἐκεῖθεν* : ἤγουν ἀπὸ 35
τῶν Ἀθηνῶν. **b.** ἕνεκα λόγων. 36. **a.** *σύνεσιν* : γνῶσιν. **b.** *τῶν* : ποιη-
μάτων. 36s. *ἀναστρέφονται* : διάγουσι. 38. **a.** *τεθέανται* : εἶδον. ἑωράκασι.
b. τόπος ἐν ᾧ διέτριβον οἱ φιλόσοφοι· εἰς τὴν ἀκαδημίαν γὰρ κατῴκει ὁ

7 διηγήσεως C : προσειδήσεως J 36 βιβλίων τῶν ποιημάτων J

327v Ἀριστοτέλης· ἔνθα καὶ Σωκράτης ἐδίδασκε. 39. *Ποικίλην* : στοάν. | 41.
ἐπὶ σοφίᾳ μέγα φρονεῖν : φιλοσοφεῖν. διδάσκειν.

55(57).662.42. **a.** ἤγουν ἐφῆκεν ἡ ναῦς εἰς πέλαγος. **b.** ὁ ἡμίονος,
ἀλλὰ καὶ ἡ ἡμίονος· καὶ ὁ πῶλος καὶ ἡ πῶλος· καὶ ὁ ὄνος καὶ ἡ ὄνος. τοῖς
γὰρ θηλυκοῖς χρῶνται οἱ Ἀθηναῖοι. 43. **a.** *ἀπήνης* : ἁμάξης. **a**[1]. ἅμαξα 5
ἡ ὑπὸ βοῶν ἑλκομένη· ἀπήνη δὲ ἡ ὑπὸ μουλαρίων δύο. **b.** *ἀποβαίνοντος* :
ἐμοῦ δηλονότι. 44. **a.** ἕνεκά σου. **b.** ἐπηρμένον ἐγένετο. 45. *ἐξικνοῦντο* :
ἔφθανον κυρίως ἡ λέξις. 45s. *προύπεμψα* : τε καὶ πολλά. **663.**1. **a.** *ἐρω-*
μένης : ἐφετῆς. **a**[1]. ἐρῶ ἐγώ· ἐρῶμαι δὲ ὑπό τινος. 2. **a.** *συνιστάς* : μαρ-
τυρῶν. **b.** *αὐτοῖς* : τοῖς ἀνέμοις. 3. *τιμαλφέστατον* : τιμιώτατον. 3s. *οὐ* 10
...καλῶν : σχῆμα γλυκύτητος. 5. **a.** *κομιδήν* : ὁδόν. **a**[1]. κομιδῇ ἀντὶ τοῦ
λίαν περισπᾶται. **b.** *ἀνακομιδήν* : ἐπάνοδον. 7. **a.** *ἐντεῦθεν* : ἤγουν
ἀφ᾽ ἡμῶν. **b.** *ἐκεῖσε* : αὐτοῦ. 8. **a.** *ἐνθάδε* : ἤγουν πρὸς ἡμᾶς. **b.** *ἡδίους* :
ἤγουν ἡδονὴν προξενοῦντες.

56(58).663.11. *ἐνσείσας* : παρακινήσας. ἀνατρέψας. 12. τῶν ἀδελφῶν 15
τῶν δύο οἱ παῖδες λέγονται πρωτανέψιοι, καὶ αὐτανέψιοι οἱ πρωτεξάδελφοι·
ἐξανέψιοι δὲ οἱ ἐξάδελφοι, ἀλλὰ καὶ ἀνεψιοί· ὁ τῆς ἀδελφῆς υἱὸς ἀδελφιδοῦς,
ὁ τῆς θυγατρὸς θυγατριδοῦς· ὁ τοῦ υἱοῦ υἱειδοῦς καὶ υἱωνός. 12s. *ἀφελό-*
μενος : ἤγουν χωρίσας. 14. ἔβλεπον ἐκείνην καὶ δι᾽ ἐκείνης σέ. 16. *μέμ-*
φομαι : αἰτιῶμαι. 16s. *ἀμετρίαν* : ὑπερβολήν. 17. **a.** *ἀδικεῖσθαι* : γρ. δια- 20
κεῖσθαι. **b.** *ῥοπῆς* : ὁρμῆς. 18. **a.** *ἀρρενοπώτερον* : ἰσχυρότερον. **b.** *ἀνα-*
κτήσομαι : ἀνατραπήσομαι. 19. **a.** *τοῦ λοιποῦ* : εἰς τὸ ἑξῆς. **b.** *σφεν-*
δαμνίνῳ : σκληρῷ. **b**[1]. ἤγουν ἀπὸ σφενδάμνου ὄντι· σφένδαμνον ξύλον
σκληρόν. **c.** *ἀκλινεστέρῳ* : μὴ ἡττωμένῳ.

316v **57(41).663.**21. *συνεργοῦσι*. 23. *ἀποτρόπαιοι* : ἄξιοι ἀποστροφῆς. 24. 25
καθ᾽ ὑμῶν. 25. **a.** ἐν τῷ *τέλει*. **b.** *ἐκείνοις* : δι᾽ ὧν. 26. *ἐπεξελεύσεσθαι* :
τιμωρήσεσθαι. 27. *οὖν* : γάρ. 28. **a.** *ἐξεμελέτησα* : ἐκ στήθους ἔμαθον.
b. τοὺς ἱεροὺς λόγους. **c.** *ἰσχυρίζομαι* : διαβεβαιοῦμαι. 29s. *πεποίηται* :
πέπλασται. 32. *τὸ ...ἔθνος* : τοὺς Ἰουδαίους. 33. *οὐκ εἰς μακράν* : παραυ-
τίκα. 34. *ὡς* : οὕτως δηλονότι. 36. κατὰ ⟨τῶν⟩ ἡμαρτηκότων. 38. *δή-* 30
μιοι : κολασταί. 39. δέοντος. 40. **a.** *ἀλλ᾽ ἤ* : γρ. ἀλλὰ ὄντως. **b.** *ἀπόκρισιν* :
317 τῶν λόγων. 41. *βεβλαμμένου* : καταλελυμένου. 42. *τῇδε* : ἐνταῦθα. | 43.
περιουσίᾳ : ἐπικρατείᾳ. τῇ ὑπερβολῇ τῆς κακίας. 44. *δραστήρια* : ἐνεργη-
τικά. 49. *ἐπινοηθέντων* : πραγμάτων. **664.**1. *δοκοῦσι* : φαινομένοις. 4.
ἀγελάρχαις : ἡγεμόσι. 6. ὡς ἐν κεφαλαίῳ εἰπεῖν· ὡς ἐν συντόμῳ. 9. *ὄρ-* 35
γανα : ἐργαλεῖα. 10. *διότι* : γρ. διατί. 11. *χρήσιμος* : ἐπιτήδειος. 12. **a.**
παντελῶς. **b.** *ἀποκόπτει* : διαχωρίζει. 13. **a.** *νομίζεται* : γρ. λογί-. **b.**
διακρίνεται : 14. παρέχει. δίδωσι. 16. τὸ φιλεῖν τοὺς ξένους. 18. ὑπηρε-

11 γλυκύτατον J 21 ἀναχθήσομαι *He*

τεῖται ἀττικὸν ἀντὶ τοῦ ὑπηρετεῖν. 18s. *μετέγνω*. 19. *μέν* : δέ. 20. *ἐπι-*
σκέψεως. 21. *δίκης* : τιμωρίας. 23. ὥρ(αῖον) ὅλον. 25. *λειτουργίαν* : ὑπη-
ρεσίαν. 26. *τῇ μοχθηρίᾳ* : τῇ πονηρίᾳ, βδελυρίᾳ. 27. **a.** *ἐπεξέρχεται* : ἀτ-
τικόν. τιμωρεῖται. **b.** *οὐ τοίνυν κατλ.* : ἀποστροφὴ τὸ σχῆμα. 28. **a.** *τὴν*
317v *πόλιν* : ἤγουν τὴν Κυρήνην. **b.** *παρά* : διά. 29. *διαδρᾶναι* : ἐκφυγεῖν. | 5
30. *ἔδει* : ἀπέκειτο. 31. *σωτηρίας* : γρ. ἁμαρτίας. 32s. πᾶν τὸ γεννώμενον
καὶ γινόμενον· οὐ μὴν πᾶν τὸ γινόμενον καὶ γεννώμενον. 34. *τὸ μὲν ὁρώμε-*
νον : ἀττικόν· κατὰ τὸ μὲν ὁρώμενον. 37. ᾗ : καθά. 38. **a.** *τῷ χρεών* : τῷ
ἀποκειμένῳ. **b.** *ἀστείας* : πεπαιδευμένης. 39. *δεῖ* : ἀπόκειται. 41. *κομίσα-*
σθαι : ἀπολαβεῖν. 45. **a.** *τῇ πληγῇ* : τῇ τῶν ἀκρίδων. **b.** *ἀντέταξεν* : ἐναντίον 10
ἐποίησε. 46. **a.** κατ' Αὐσουριανῶν. **b.** *ἤρηται* : προεβλήθη. προεκρίθη.
c. *παρ' αὐτοῦ* : ἤγουν τοῦ θεοῦ. 49. **a.** *τοῦτον* : τὸν στρατηγόν. **b.** *κατὰ* :
τῶν Αὐσουριανῶν. **c.** *γένοιτο* : εὔχομαι ἵνα. 50. *φησίν* : ἡ γραφή. 51.
εἰς ἔδαφος καταβαλεῖ. 52. *παρά* : πρός. εἰς. 53. **a.** *ὄλεθρος* : ἀπώλεια.
b. *ἀναμενεῖ*. **c.** *παλαμναῖον* : κάκιστον. ἐχθρόν. **c**[1]. τὸ παλαμναῖον 15
ἀεὶ ἐπὶ κακοῦ· ἀλιτήριον, ἐχθρόν. 54s. *κακεργάτιδος* : τῆς κακὰ ἔργα
διαπραξαμένης. **665.1.** **a.** *ὡς* : ὅτι. **b.** *μετῆλθεν* : ἐτιμωρήσατο. 2.
μακρῷ : καταπολύ. 3. **a.** *βαρύτερος* : ἐμοί. **b.** *πρός* : σύν. 4. **a.** διὰ τοῦ
Ἀνδρονίκου. **b.** *μέτεισιν* : κολάζει. τιμωρεῖταιι. 6. **a.** ἄξιόν ἐστιν ἐπανα-
γαγεῖν. **b.** *ἄνω* : πρότερον. 7. *ἵν'* : ἐγώ. 8. κατ' *ἐμέ*. 9. *μετὰ ταῦτα* : 20
ὕστερον τούτων. 10. *ἔχει* : διάκειται. 11. **a.** *παιδόθεν* : ἐκ βρέφους. **b.**
παρέστη : ἔδοξεν. 12. **a.** *τοῦ ζῆν* : ἤγουν τῆς ζωῆς. **b.** *εὐμάρεια* : εὐκολία.
ἐλευθερία. 13. *αὐτὸ τοῦτο* : προσήκει. 14. **a.** *συνιστᾶν* : μαρτυρεῖν. **b.**
αὐτήν : τὴν σχολήν. 15. **b.** *πράγματα* : ἤγουν ὀχλήσεις. **b**[1]. τὸ θεῖον οὔτε
αὐτὸ πράγματα ἔχει οὔτε ἄλλῳ παρέχει. 16s. *καὶ ὅσα... καὶ ὅσα* : ἐστὶν ἢ 25
318 γίνεται ...τούτων ἐλάχιστον μετέσχον. | 17. *εἰς ἄνδρα παραγγείλας* : φθάσας
ἐλθών· φθάσας εἰς ἀνδρῶν ἡλικίαν. 18. **a.** *εἰς ἀπραγμοσύνην* : εἰς ἁπλό-
τητα. **b.** διήλλαξα· διέφερον. 19. **a.** *σεμνῇ* : ἐνδόξῳ. **b.** *διεξάγων* : διαβι-
βάζων. 20. *ἀκύμαντον* : ἀτάραχον. 21. **a.** *διὰ τοῦτο* : ἤγουν διὰ τὸ εἶναι
ἀπράγμονα. **b.** *ἀσυντελῆ* : ἀσύμφορον. 23. *ἐδίδου* : παρεῖχε. 24. *βούλε-* 30
σθαι : προαιρεῖσθαι. 26. *ὑπετέμνετο* : ἐκώλυεν· ἐλάττονα ἐποίει. 27. **a.**
μόλις : ἤγουν μετὰ βίας. **b.** *δαπανᾷ* : καταλύει. 28. *ἐμβαπτίζει* : βυθίζει.
ἐμβάλλει. ἐντίθησι. 29. ᾧτινι. 30. *ἀνυσιμώτατος* : ὠφελιμώτατος. εὐεργετη-
τικός. 31. *φειδώ* : προσοχή. ἔλεος. 32. *γάρ* : ἐπειδή. 34. **a.** *μέχρι* : ἕως. **b.**
ἐνιαυτοῦ. **c.** *τάχα* : τυχόν. ἴσως. 35. **a.** ἐδόθη μοι ὥσπερ *κληρονομία* ἀπὸ 35
θεοῦ. **b.** *τάχα* : ἴσως. 35s. ἐπιχειρῶν *πράγμασι*. 37. **a.** *ἔοικεν* : δοκεῖ.
b. ἀπελέγχεσθαι. 38. *τοῦτ'* : ἤγουν τὸ δύνασθαι πείθειν τοὺς ἀνθρώπους.
39. **a.** *ἀγαθῶν* : καλῶν. **b.** *ὥσπερ* : καθάπερ. 40. **a.** *ἄφετον* : ἐλεύθερον.

2 ad lineam scr. 6 ubi γέγονε *32 He* γίνεται C[t] || ad ἐγένετο *33* ἐγεννήθη J[sl]

b. *ἀνειμένον* : μὴ ὑπό τινος κεκρατημένον. 41. *τὸν βίον* : ἤγουν τὴν ἐμαυ-
τοῦ ζωήν. 42. **a.** *τό* : τὸ σῶμα. **b.** *πονεῖν* : ἐνεργεῖν. 43. **a.** *εὐμαρείας* :
ἀνέσεως. **b.** *εἵλκυσα* : ἤγαγον. 44. **a.** τῆς προαιρέσεως. **b.** ἡ 'παρά' πολ-
λάκις μὲν ἐπίτασιν, πολλάκις δὲ ⟨τὸ⟩ ἔλαττον ⟨δηλοῖ⟩· ἐνταῦθα δὲ ἐπίτασιν
'παρὰ τοὺς πώποτε'. 45s. τὸν ἐφορῶντα *πάντα*· τὸν ἐπιστατοῦντα τὰ *πάντα*. 5
46. *ἀπορρήτους* : μυστικάς. 47. *τελετάς* : θυσίας. 47s. *σπουδῶν* : ἐπιμε-
λειῶν. 48. *καταμόνας* : μοναχός· ἐν ἐρημίᾳ πάντων τῶν πραγμάτων. 49. **a.**
πρηνής : ἐπὶ πρόσωπον κείμενος. **b.** *γονυπετής* : ἐπὶ τοῦ γόνατος πεσών.
50. *αἰδώς* : εὐλάβεια. 52. *δεῖν* : πρέπον εἶναι. 53. *ἐκράτουν* : περιεγινό-
μην. ἐγκρατὴς ἤμην. 54. **a.** *ἡττώμην* : ἐνικώμην. **b.** *ὡς* : ὅτι. **c.** *φήμη* : 10
γρ. γνώμη, ἤγουν κρίσις. 54s. *γνωστόν*. **666.1.** **a.** *ἔφερον* : ὑπέμενον. **b.**
δυσηνιάστως : βαρέως. δυσαγωγῶς. 1s. *καινοτομίαν* : ἐναλλαγήν. 2. **a.** *δρα-*
σμῷ : φυγῇ. **b.** *ἐπιθέμενον* : θελήσαντα ἐμὲ φυγεῖν· ἐπιχειρήσαντα ἐμέ. 3.
318v *ἀνέκοψε* : ἀνέπαυσε. | 5. κατὰ *λέξιν* τοιαύτην ἣν λέγω. 6. **a.** *ἱλαροὺς* ποιεῖ.
b τοὺς *μετασχόντας*. **c.** *αὐτοῦ* : τοῦ ἁγίου πνεύματος. **d.** *προσέθηκεν* : 15
εἶπεν. 7. **a.** *ἠμφισβήτησαν* : ἐμαχέσαντο. **b.** *ἡμῖν* : χάριν ἡμῶν. 8. **a.**
προσχωρήσας : παραγενόμενος. προσελθών. **b.** *μερίδι* : γρ. δυνάμει. **c.** τῇ
κρείττονι : τῇ θείᾳ. **d.** *κἄν τι* : φησί. 9. **a.** *προσβάλωσι* : ἐπάγωσι. **b.**
οὐκ ἔστι παρὰ θεοῦ ἀμεληθῆναι φιλόσοφον ἱερέα. 10. *οὖν* : δή. 11. **a.**
χαῦνος γενέσθαι. **b.** ἀναλογίσασθαι. **b**[1]. ἡγήσασθαι. 12. *ᾐτιασάμην* : 20
αἰτίαν ἔκρινον. 13. *προσήκειν* : ὑπάρχειν. 14. **a.** *ἐκίνησεν* : εἶχε φύσιν κινή-
σειν. **b.** *ἐφόβει* : ⟨εἰς φόβον διήγειρεν, ἐτάραττεν.⟩ 15. **a.** *παραξίαν* :
ἐκτὸς ἀξίας. **b.** *ἅψασθαι* : λαβέσθαι. 16. ἐμαντευόμην : προέλεγον. 17. **a.**
κατὰ μικρόν : ⟨παραυτίκα⟩. **b.** *ὤλισθον* : ἐκ τουντεῦθεν ἐξέπεσον. **c.** *ἐνθάδε* :
ἤγουν εἰς τὴν ἱερωσύνην. 18. *χορηγός* : δοτήρ. 19. **a.** *ἀρήιος* : πολεμικός. 25
b. *ἄπληστος* : μὴ δυνάμενος πληρωθῆναι. 20. **a.** ἐπι*κείμενος*. βιάζων. **a**[1].
ἐπιτιθέμενος. **b.** *ἔα* : φεῦ. 21. *οἰμωγαί* : θρῆνοι. 22. *σχῆμα* : εἶδος.
22s. *περιτέθεικεν* : ἐνέδυσεν. 23. **a.** *ἧς* : πόλεως. **b.** *ἀποτεμόμενος* : ἰδιο-
χωρισάμενος. **c.** *τίσεως* : ἀνταποδόσεως. **c**[1]. ἤγουν τιμωρίας. 24s. βασιλι-
κήν. 25. **a.** *κριτήριον* : ἤγουν ὁ τόπος ἐν ᾧ ἐκάθηντο καὶ ἔκρινον. **b.** 30
βασανιστήριον : ἀντὶ τοῦ 'κολαστήριον'. 26. **a.** *ποινίμοις* : τιμωρητικοῖς. **b.**
ἄρας : λαβών. **c.** *προσένειμε* : παρέσχε. 27. **a.** *βωμόν* : ναόν. **b.** πόσοις
αὐτούς. **b.**[1] τοὺς δαίμονας. 28. *εἱστίασε δάκρυσι* : ἤγουν ἐποίησε πολλοὺς
δακρύειν. 29. *τῷ* : ὄντι. 31. **a.** *ἐπ'* : εἰς. **b.** *πανταχόθεν* : ἤγουν κύκλω-
θεν. **c.** *ἐβαλλόμην* : ἐτιτρωσκόμην. 32s. *ἐπιτιμήσας* : κυρίως τὸ ἀνα- 35
στριγγήσας. 33. *ἠρέθισα* : διήγειρα. 34. ἐποίησε κεκρυμμένην. 35.

4 ex J ins. 22 ex J desump. : C voluit quidem, om. tamen transscr.
24 ex J desump. : C notulam appinxit, at transscr. om. || ἔπεσον C : ex J corr.
32 ἄρα *He* 35 ἐβαλόμην C[ac]

συγχωρουμένων : πραγμάτων. 35s. *καρπωσάμενος* : λαβών. 36. *ὑπόνοιαν*. ὑπόληψιν. 37. *συμβεβηκότων* : ἐπελθόντων. γενομένων. 38. **a**. *τὴν ἐλπίδα* : τὴν δόξαν καὶ τὴν ὑπόληψιν. **b**. κρίνουσι ἐμέ. 39. **a**. *αὐτούς* : τοὺς πολίτας. **b**. *ὡς* : ὅτι. **c**. ἄξιος κρίνομαι. 40. **a**. *περίεστιν* : περιγίνεται **319** ἡμῖν. | **a**^{1}. ἀντὶ τοῦ κατήντησε γοῦν ἡμᾶς. 41s. πολυειδεῖς φροντίδες οὖσαι ἐν τῇ ψυχῇ μου. 42. *εἰδωλοποιΐα* : ἀνατύπωσις. 43. **a**. *προσβολαί* : ἐπήρειαι. κινήσεις. πόλεμοι. ἐπαγωγαί. **a**^{1}. προσβολὴ κυρίως ἐπὶ πολέμου. 44. *ἐβούλοντο* : ἤγουν οἱ δαίμονες. 45. **a**. τῆς οὔσης ⟨ἐμοὶ⟩ κατὰ συνήθειαν. **b**. *γλυκυθυμίας* : τέρψεως. εὐφροσύνης. 46. **a**. ἡ διάθεσις τοῦ σχήματος. **b**. περιφέρομαι. περιήχθην. περιῆλθον. **b**^{1}. περιεγενόμην εἰς ἅπαντα τὰ πράγματα· τὸ δὲ *ἁπανταχοῦ* ἀπῆρε τὴν γενικήν. **b**^{2}. περιφέρω· ὁ μέλλων περιοίσω· ὁ παρακείμενος περιενήνοχα· ὁ παθητικὸς περιήνεγμαι· ὁ ἀόριστος περιηνέχθην. 48. **a**. *νοῦ* : λογισμοῦ. **b**. *συγγινόμεθα* : ὁμιλοῦμεν. 49. **a**. ἀφ' οὗ καὶ ὑπηρετοῦμαι, παθητικῶς ἀντὶ ὑπηρετῶ. **a**^{1}. γρ. καὶ ὑπηρετεῖται καὶ ἐξυπηρετεῖ. 50. **a**. *ἠτύχηκα* : ἔπαθον. **b**. *παρά* : ἐγγύς. 51. **a**. *γε* : ὅμως. **b**. *μεταβολῆς* : ἤγουν τῆς ἐκ φιλοσοφίας εἰς ἱερωσύνην. 52. *ἀπραξίας* : ἀνενοχλησίας. 53. **a**. *εἰς τὸ μέχρι* : ἤγουν μέχρι τοῦ νῦν. **b**. *πρῴην* : καὶ τῆς πρόχθες. **c**. τὸ δὲ διαγενόμενος [ἤγουν] ἀντὶ τοῦ ζήσας. 54. *νεκρόν* : τοῦ ἀνθρώπου ἐκείνου δηλονότι. **667**.1. **a**. *ἐπιβατηρίοις* : εἰσελεύσεσι. **a**^{1}. κυρίως τὸ ἐπιβαίνειν ἐπὶ νεώς· τὸ δὲ ἐπὶ τὴν πόλιν εἰσιτήριον. 1s. τῶν ἀνθρώπων. 3. **a**. *περιχωρεῖ* : περιέρχεται. **b**. *ῥοῦς* : ῥεῦμα. **c**. κυρίως τὸ 'αἴσια' ἐπὶ μαντείας. 4. *συνέπεσεν* : συνέβη. **d**. τὸ δὲ ἀποβαλεῖν ἀντὶ τοῦ ἀπολέσαι. 5. φύσιν εἶχον ἐργάσασθαί τι δεινόν. 6. *ἑαλώκειν* : ἐκρατήθην. 6s. κατὰ ἢ διὰ δὲ τὰ ἄλλα. 7. **a**. ἀρρενέστερος. **b**^{1}. τὸ 'ἄρρην' ἐπὶ ψυχῆς· ⟨τὸ δὲ⟩ ἄρσην ἐπὶ σώματος· ἀρρενωπὸς ὁ κατὰ ψυχὴν ἀνδρεῖος. **c**. κατὰ *πολύ*. 8. **a**. *δοῦλος τοῦ λόγου* : ὅπερ με ἀπαιτεῖ ὁ λόγος, ἐκεῖνο ποιῶ. **b**. *συνηθείας* : φιλίας. 9. **a**. *ταύτῃ* : οὕτως, ἤγουν κατὰ συνήθειαν. **b**. *κρατεῖν* : περιγίνεσθαι. 10s. *ἐκράτησα* : ἐνίκησα. περιεγενόμην. 11. **a**. *ἀντιπεριήγαγε* : εἰς τοὐναντίον περιέστησε. **b**. *πρός* : ἐν. 14. **a**. *ἀνθέλκουσαι* : αἱ συμφοραί. **b**. *πάθει πάθος ἐκκρούουσαι* : κακῷ τὸ κακὸν ἴαται. **c**. *ἐκκρούουσαι* : ἐκβάλλουσαι αἱ συμφοραί. 15. **a**. *συνεπιτίθεται* : βαρέως ἐπεμβαίνει. **a**^{1}. ἐπίθεσις κυρίως ἡ ἐκ τῶν ὀπίσω τῶν πολεμίων προσβολή. 15s. ἤγουν τῇ λύπῃ τῶν *παρόντων* δεινῶν. 16. *οἵων* : ἀγαθῶν. 17. **a**. *οἵοις* : κακοῖς. **b**. *πονήρως* : δυστυχῶς. κακῶς. **c**. *ἅμα* : ὁμοῦ. 17s. *ἀφῃρημένος* : ἐστερημένος. στέρησιν εἰληφώς. 18. *τὸ μέγιστον* : τὸ ὑπερβάλλον. 19. *εἰωθώς* : συνήθειαν ἔχων ἐγώ. 19s. *ἀποτυγχάνειν ἐν ἱκετείαις θεοῦ* : ἤγουν μὴ ἔχειν τὸν θεὸν ἀπονεύοντα. 21. *κακῶς πράττουσαν* : δυστυχοῦσαν. 22s. *ἀναγκάζο-*

8 ex J ins. 11 ἐπῆρε J ‖ περιήσω C : ex J corr. 25 ex J ins. 26s. sch. ad δουλεύω τῷ λόγῳ *He* magis consentaneum vid. esse

μαι : βιάζομαι. 23. **a**. γρ. προκείμενος. **b**. *ἐφ' ᾧ* : διὰ τό. **c**. *προσανα-* **319v** *κλάεσθαι* : ἀττικόν. θρηνεῖν πάντας. | 24. *τὰ κατ' αὐτόν* : ἤγουν τὰς ἰδίας συμφοράς. 25. **a**. *ἀνόνητον* : ἀνωφελῆ. **b**. *πρόσεστι* : σὺν τῷ ἐλεεῖν ἀνονήτως. 26. *χρησάμενον συμφοραῖς* : ἤγουν δυστυχήσαντα. 27. **a**. ἀπαίτησιν δοὺς ὁ 'Ανδρόνικος. **b**. *ὑπὲρ στατῆρας μυρίους* : 'Αριστοφάνους· 'στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν χρυσοῖς'. 28. *ἀναβολήν* : ὑπέρθεσιν. 29. **a**. *δι' ἐμέ*^{1} : ⟨τὸν κλαπέντα⟩, οὐ διὰ τοὺς χιλίους στατῆρας. **b**. *καθείρξας* : ἤγουν ἐμβαλὼν εἰς φυλακήν. 30. **a**. *ἀνεπιχείρητον* : στερεόν. **b**. *φρούριον* : φυλακήν. 30s. ἤγουν δεδεσμημένους εἶναι. 31. *φαντάζονται* : ὑπολαμβάνουσι. 32. *ἀφαιρηθῇ, φησί* : ὁ 'Ανδρόνικος τὸν ἄνθρωπον. 32s. μέχρι ταύτης τῆς ἡμέρας. 34. *πρῴην* : πρότερον. 34s. *αὐτοῦ* : τοῦ 'Ανδρονίκου. 35. *ὡς* : ὅτι. 36s. *πολιτευόμενος* : ὁ χρώμενος τοῖς πολιτικοῖς πράγμασι. 38s. **a**. *ἀφίστησιν* : ἐκτρέπει. **a**^{1}. μακρὰν ἀπάγει. κωλύει. ἐμποδίζει. 39. *δεῖ* : χρείαν ἔχει. 40. ἐστὶ χρείαν ἔχειν. 41. **a**. *ἐρυμνοῖς* : στερεοῖς. **b**. *προσβαλεῖν* : προσελεύσεσθαι. 42. *εἰσερπύσαι* : κρυφίως βαδίσαι. 43. **a**. παροιμία. **b**. ἀφίησι. **c**. *οὐδένα* : τῶν δεσμοφυλάκων. 44s. ἀφορῶντες ἔχουσι, μιμοῦνται τὸν 'Ανδρόνικον. 47. **a**. (τῶν...) *αὐτοῦ* : γενομένων. **b**. *λόγος οὐδείς* : φροντὶς οὐδεμία. **c**. *ὡς* : ὅτι. **d**. τὴν οὖσαν. 48. *ὡς* : καθά. 49. **a**. *τίς* : αὐτός. **b**. *μηδὲν ἄλλο* : ἔχοντα δηλονότι. 51. *Δωριέας* : ὡς ἐξορίστους. 52. **a**. *ἐνεκολάφθησαν* : ἐνεγράφησαν. **a**^{1}. κυρίως ἐπὶ λίθων. 53. *ἔχων* : δυνάμενος. **668**.1. **a**. *ἡγεμονικήν* : ναυτικήν. **b**. *ἀπήνην* : τὸ ἅρμα. **c**. *ἁλάμενος* : πηδήσας. 2. **a**. διὰ *θαύματος* κτησάμενος. **b**. *αἰσχυνέσθω* : ποτὲ νῦν αἰδείσθω. 2s. *τοῖς ἐλλείμμασι* : τοῖς στερήμασιν. 4. **a**. *ἐνεφορήθην* : ἐμπεπλησμένος εἰμί. **b**. θέσις καὶ ἄρσις. **c**. *ἐγευσάμην* : ἠψάμην. 6. **a**. οὐδὲν ἀπὸ τῶν δύο, τουτέστι τῆς τιμῆς καὶ τῆς ἀτιμίας. **b**. *ἔτι* : εἰς **320** τὸ ἑξῆς. 7. **a**. ἑκάτερον : ἤγουν τὸ τῆς τιμῆς καὶ τῆς ἀτιμίας. | **b**. *εἰς ἀναφοράν* : ἤγουν ἀναφέρει, ἀνατρέχει. 8. ὁ τολμηρός. 9. *παρεκίνησεν* : κατέλυσεν. διέφθειρεν. 10. *διακυρίττεται* : μάχεται. 11. *ἐπί* : ἐνώπιον. 12. **a**. *ἅς* : φωνάς. **b**. *τῆς* : ἐπιστολῆς. 14. *ἐπειλεμμένη* : ἡμμένη. 14s. ὡραῖον' ἀρχὴ δείξει ἄνδρα. 15. **a**. *ἐξαράσσειν* : κρούειν. συντρίβειν. **b**. *ἐπιχειρεῖ* : ἐπιβάλλει. ἐπιτίθησι. **c**. *ἔστω* : αὐτός. **d**. *δύναμιν* ἐχέτω. 16. **a**. *κεχρήσθω* : ἐνεργείτω τῆς ἑαυτοῦ φύσεως. **b**. *ἀποκτιννύτω* : τί. ἀνταποδιδότω. 17. *τῶν πολεμίων* : ἀπό. 17s. *ἀπόχρη μένουσιν* : ἤγουν ἀρκετὸν ἦν οὖσιν. 18. *ἐπὶ τῆς τάξεως* : ἤγουν ἐπὶ τῆς ἡσυχίας. 18s. ἀπηλλαγμένον εἶναι. 20. **a**. *ἁγνεῦσαι* : ἁγνὰς κτήσασθαι. **a**^{1}. καθαρὰς ἀποφῆναι ἔχειν. **b**. βλασφημίας τῆς πρὸς θεόν. **c**. *ἀλεγεινῆς* : λυπηρῆς. 21. *ἀπόγνωσιν* λαβεῖν. ἀπαγορεῦσαι. 21s. **a**. *ἀπολογίαν* ποιήσασιν. **a**^{1}. ἀποκρίνεται ὁ ἐρωτώμενος· ἀπολογεῖται δὲ ὁ ἐγκαλούμενος. 22s. ἐπιχειρήματος. 22s. *ὁ νοῦ* :

5s. Ar. Plut. 816 7 ex J ins. 29s. Diogen. II 49 (Paroem. I 212)

ἴδιον ἦν νοῦ. 23. *ἔχοντος* : ὕστερον. 29. *συχνόν* : πολύν. 30. *τὸ θεῖον* : ἤγουν τὸ τῆς ἱερωσύνης. 30s. ἐχώρισεν· *διοικίζω* τὸ διαχωρίζω. 31. *ἡγεμονικός* : βασιλικός. 32. *τοὺς μὲν... τοὺς δέ* : τοὺς βασιλεῖς... τοὺς ἱερεῖς. 33. **a**. συντεταγμένους ἐποίησε. **b**. τεταγμένοι εἰσί. **c**. *οἳ μέν* : οἱ βασιλεῖς. 33s. ἤγουν ἐπὶ τῷ ἐνεργεῖν τὰ *πράγματα*. 34. **a**. *ἡμεῖς δέ* : τεταγμένοι ἐσμέν. **b**. *ἀπαιτεῖ* : ὡς κεχρεωστημένον πρὸς τὸν ζητοῦντά με σιτεύεσθαι. 35. **a**. διὰ τί[1]. **b**. *ἐπανάγεις* : ἤγουν φέρεις τὰ πράγματα ὄπισθεν. 37. *παραδιοικεῖν* : παραδυναστεύειν. 38. *βάδιζε* : πορεύου. 39. ἐπιτροπὴν ἔχοντα. 40. κατὰ τί. 41. *ἐνόν* : καὶ δυνατοῦ ὄντος. 42. **a**. πρόθυμος γενήσομαι. **b**. *ἠρεμεῖν* : ἤγουν ἀποχὴν ποιήσασθαι τῶν πραγμάτων. **c**. *τάχα* : ἴσως. 45. μὴ ψευδὲς ἐχούσης. 45s. ⟨οὐκ⟩ *ἄξιον* κρίνουσι, ἤγουν οὐ δύνανται. 46. *συγγίνεσθαι* : ἤγουν συνηνωμέναι εἶναι. 47. **a**. *ἀπαθής* : ὁρμὴ χωρὶς πάθους πραγμάτων. **b**. *κενήν* : ἐλευθέραν. καθαράν. **c**. *παθῶν* : ἤγουν

320v πραγμάτων. | 49. *μή οὐ* : δέδοικα ἵνα. 49s. σχόλασον καὶ γνῶθι. 51. **a**. *δεῖ* : χρεία ὑπάρχει. **b**. *καταδικάζω* : καταψηφίζομαι. **b**[1]. κατηγορεῖ ὁ ἐγκαλῶν· καταδικάζει δὲ καὶ καταψηφίζεται ὁ κριτής. 52. τοὺς ὄντας τῶν ἐπισκόπων ἐν τοῖς πράγμασιν. 53. **a**. *εἰς θάτερον* : εἰς ἕν. **b**. *ἐξικνούμενον* : ἐξαρκοῦντα. **c**. θαυμάζω· *ἄγαμαί* σου τόδε. **669**.1. **a**. *ἑκάτερα* : τὰ δύο. **b**. *δύναμις* : ἀρκετὸν γινόμενον. 2s. **a**. *τῆς συγκαταβάσεως* : τῆς εἰς τὰ πράγματα ⟨συγκατανεύσεως⟩. **a**[1]. ἤγουν ἀπὸ τοῦ ἐγκύπτειν εἰς τὰ πράγματα. 5s. *τοῦτο παθών* : ἤγουν ὁμιλήσας βορβόρῳ· ἐμπεσὼν εἰς βόρβορον. 7. **a**. πλέον. **b**. *ἐνιαυτούς* : χρόνους. 7s. *ἀνθρώπῳ* γενομένῳ. 8. ἀπολαύω σου τόδε. 9. *ἔδει* : χρεία ὑπῆρχε. 10. **a**. *περιουσία* : ὑπερβολή. πλῆθος. **b**. ἀβλαβῆ διαμένειν. 11. **a**. κατὰ μηδένα τρόπον. **b**. *παθαίνεσθαι* : πάθος λαμβάνειν. **c**. *τοῦτο* : ἤγουν τὸ ὁμιλεῖν τοῖς χείροσι καὶ μένειν ἐπὶ τῆς φύσεως· τὸ μὴ μολύνεσθαι. 12. *παραίτησις* : συγγνώμη. 13. *διευλαβουμένῳ* : φοβουμένῳ. 14. **a**. *ὅρους* : ὅρον ἐνταῦθα τὴν τάξιν. **b**. *συνέσομαι* : συνυπάρξω. 15. **a**. διακρίνειν. **b**. καιρὸς ὁ ἁρμόζων ἑνὶ ἑκάστῳ πράγματι. **c**. *ἀφαιρήσομαι* : στερήσω. **d**. *ἐξῇ* : καιρός ἐστι. δυνατόν ἐστι. 15s. **a**. *ἐξῇ κτλ.* : δοκεῖ κατιέναι. **a**[1]. ὠφελεῖν τινας κατέρχεσθαι. 16. *κατιέναι* : συγκαταβαίνειν. 16s. τουτέστι διὰ τῆς μικρᾶς ἐπιστροφῆς καὶ συγκαταβάσεως ἀγαθόν τι ποιεῖν. 18. **a**. *προστετηκέναι* : προσμένειν καὶ καρτερεῖν. **a**[1]. ⟨τὸ χαίρειν ἀεὶ τοῖς αὐτοῖς⟩. **a**[2]. στοιχεῖν πρὸς ταλαιπωρεῖν. **b**. *οὗ* : τοῦ πράγματος τοῦ ἀνενδότως ἔχειν πρὸς τὰ πράγματα. 19. *ἀνέχεται* : ὑπομένει. 19s. **a**. ἤγουν ὅστις μιμεῖται τὸν θεόν. **b**. *ἀπευθύνει* : διορθοῖ. 21. **a**. *σύνιστε* : γινώσκετε. **b**. λογαριασμούς. 23. **a**. *ἀλαζών* : αὐθάδης. **a**[1].

---

1 ὕψος ἴδιον τοῦ νοῦ J 5 ἐπὶ C^{t} : πρὸς *He* 18 ἐξαρκοῦντα ἐξερχόμενον J 20 ex J ins. 23 ἔδει *He* : δεῖ C^{t} 27 ὅρους J^{Σ} fort. recte 33 ex J ins. : C signum appinxit at describere om.

